20

ΚΩΝΣΤ. Ν. ΧΑΡΑΛΑΜΠΟΠΟΥΛΟΥ
ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΕΝ ΠΑΤΡΑΙΣ ΣΧΟΛΗΣ Μ. ΕΚΠΑΙΔΕΥΣΕΩΣ

Αρ. εισ. 45138

# ΗΡΟΔΟΤΟΣ

## ΕΚΛΟΓΑΙ

ΜΕΤΑ ΕΙΣΑΓΩΓΗΣ ΚΑΙ ΕΡΜΗΝΕΥΤΙΚΩΝ ΣΗΜΕΙΩΣΕΩΝ

ΔΙΑ ΤΟΥΣ ΜΑΘΗΤΑΣ
ΤΩΝ ΣΧΟΛΕΙΩΝ ΤΗΣ ΜΕΣΗΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ

ΕΚΔΟΣΙΣ ΠΡΩΤΗ



ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ: ΘΕΟΔ. Α. ΚΟΥΚΟΥΡΑ
60 ΡΗΓΑ ΦΕΡΑΙΟΥ 60
ΕΝ ΠΑΤΡΑΙΣ
1937

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὰ γνήσια ἀντίτυπα φέρουν τὴν ὑπογραφὴν τοῦ συγγραφέως.



Τύποις —
Θεοδ. Α. Κούκουρα
— Πάτραι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΕΙΣΑΓΩΓΗ

## Α.΄ Ο ΗΡΟΔΟΤΟΣ ΚΑΙ ΤΟ ΕΡΓΟΝ ΤΟΥ

### 1. ΒΙΟΣ ΤΟΥ ΗΡΟΔΟΤΟΥ

Ὁ Ἡρόδοτος ἐγεννήθη περὶ τὸ ἔτος 484 π. Χ. ἐν Ἁλικαρνασσῷ τῆς Καρίας. Ἡ πόλις αὕτη ἦτο ἀποικία τῶν Δωριέων, οἵτινες ὑπέκυψαν ἐνωρὶς εἰς τὸν ὑψηλότερον πολιτισμὸν τῶν γειτόνων των Ἰώνων καὶ ὑπέστησαν τὴν ἐπίδρασιν αὐτοῦ. Ὁ πατήρ του Λύξης καὶ ἡ μήτηρ του Δρυὼ ἀνῆκον εἰς ἐπιφανῆ καὶ εὔπορον γένος τῆς Ἁλικαρνασσοῦ. Θεῖος αὐτοῦ ἐκ μητρὸς ἦτο ὁ περίφημος ἐπικὸς ποιητὴς τῆς ἐποχῆς ἐκείνης Πανύασις, ὁ ὁποῖος ὑπῆρξε καὶ διδάσκαλός του. Ἀπὸ αὐτὸν ὁ Ἡρόδοτος ἐδιδάχθη τὸν Ὅμηρον καὶ παρωρμήθη νὰ μελετήσῃ τοὺς πρώτους ἱστοριογράφους, τοὺς ὀνομαζομένους λογογράφους, καὶ εἰς αὐτὸν κυρίως ὀφείλει τὸν ἐνθουσιασμὸν πρὸς πᾶν τὸ Ἑλληνικόν.

Ὁ Ἡρόδοτος κατέτριψε τὰ πρῶτα νεανικά του ἔτη εἰς πολιτικοὺς ἀγῶνας ἐν τῇ πατρίδι του. Τὸν θρόνον τῆς Ἁλικαρνασσοῦ κατεῖχεν ὡς τύραννος ὑπὸ τὸν βασιλέα τῶν Περσῶν Ἀρταξέρξην μετὰ τὸ ἔτος 460 π. Χ. ὁ Λύγδαμις, ἔγγονος τῆς Ἀρτεμισίας, τῆς βασιλίσσης, ἡ ὁποία ἐπολέμησεν ὑπὲρ τοῦ Ξέρξου ἐν Σαλαμῖνι. Κατὰ τοῦ τυράννου τούτου ἐστασίασαν πολλοὶ Ἁλικαρνασσεῖς, μεταξὺ τῶν ὁποίων ὁ Πανύασις καὶ ὁ Ἡρόδοτος. Ἀλλ' ἡ στάσις αὕτη ἀπέτυχε καὶ ὁ μὲν Πανύασις συνελήφθη αἰ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χμάλωτος καὶ ἐθανατώθη, ὁ δὲ Ἡρόδοτος κατέφυγεν εἰς τὴν Σάμον. Βραδύτερον ἐπανῆλθε μετὰ τῶν στασιωτῶν εἰς τὴν Ἁλικαρνασσὸν καὶ συνήργησεν εἰς τὴν ἐκδίωξιν τοῦ τυρ... ου περὶ τὸ ἔτος 454 π. Χ. Δὲν ἔμεινεν ὅμως ἐπὶ πολὺ εἰς τὴν πατρίδα του, διότι ἦλθεν εἰς σύγκρουσιν μὲ τοὺς ἀρχηγοὺς τῆς πολιτικῆς μερίδος, εἰς τὴν ὁποίαν ἀνῆκε καὶ μετὰ τῆς ὁποίας συνειργάζετο. Φαίνεται πιθανὸν ὅτι ὁ Ἡρόδοτος συνίστα συμμαχίαν μετὰ τῶν Ἀθηνῶν, τὴν ὁποίαν οἱ ἄλλοι ἀπέκρουον. Ἕνεκα τούτου ἐγκατέλειψε διὰ δευτέραν φορὰν τὴν πατρίδα του καὶ δὲν ἐπανῆλθε πλέον εἰς αὐτήν.

Δὲν εἶναι ἀκριβῶς γνωστὸν ποῦ μετέβη μετὰ τὴν ἀποδημίαν ὁ Ἡρόδοτος. Κατὰ τὸ ἔτος ὅμως 445 π.Χ. εὑρίσκετο εἰς τὰς Ἀθήνας, ὅπου συνεδέθη στενῶς μετὰ τοῦ Περικλέους, τοῦ Σοφοκλέους καὶ ἄλλων ἐπιφανῶν πολιτικῶν καὶ ἀνθρώπων τῶν γραμμάτων.

Κατὰ τὸ ἔτος 444 π.Χ. μετέβη εἰς Θουρίους, τὴν ἀποικίαν τὴν ὁποίαν ἔκτισαν οἱ Ἀθηναῖοι παρὰ τὴν Σύβαριν τῆς Κάτω Ἰταλίας. Τὴν πόλιν ταύτην ἐθεώρησεν ὡς δευτέραν πατρίδα του καὶ διὰ τοῦτο οὐχὶ σπανίως ἐπονομάζεται Θούριος.

Περὶ τῶν τελευταίων χρόνων τοῦ Ἡροδότου ὀλίγα εἶναι γνωστά. Ἀπέθανε πιθανῶς ἐν Θουρίοις περὶ τὸ ἔτος 424 π.Χ.

## 2. ΤΟ ΕΡΓΟΝ ΤΟΥ ΗΡΟΔΟΤΟΥ

Οἱ πρὸ τοῦ Ἡροδότου Ἕλληνες ἱστορικοὶ ὀνομάζονται λογογράφοι. Παρ' αὐτοῖς ἡ ἱστορία ἦτο συνδυασμένη μὲ τὸ μυθῶδες, διότι τὰ ἔργα των, τὰ ὁποῖα ἐκαλοῦντο λόγοι, ἀπέβλεπον μᾶλλον εἰς τὸ νὰ τέρψουν τὸν ἀναγνώστην ἢ τὸν ἀκροατὴν μὲ παραδόξους διηγήσεις ἢ νὰ παρουσιάσουν τὰ πραγματικὰ γεγονότα ἀνταποκρινόμενα πλήρως πρὸς τὴν ἱστορικὴν ἀλήθειαν.

Τὰ ἔργα ταῦτα, ἀναφερόμενα εἰς τὴν ἱστορίαν διαφόρων πόλεων καὶ γενῶν, πλήρη μύθων καὶ παραδόσεων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἐσφαλμένων πολλάκις γεωγραφικῶν πληροφοριῶν, δὲν ἠδύναντο βεβαίως νὰ ὠφελήσουν τὸν Ἡρόδοτον, ὁ ὁποῖος ἠθέλησε νὰ παρουσιάσῃ τὴν ἱστορίαν τῶν πρὸ αὐτοῦ καὶ τῶν συγχρόνων γεγονότων ἄνευ παραποιήσεων καὶ ἀνακριβειῶν. Πρὸς τοῦτο ἐπεχείρησε μακροτάτας περιηγήσεις καὶ προσεπάθησε νὰ συγκεντρώσῃ ἀσφαλεῖς κατὰ τὸ δυνατὸν εἰδήσεις περὶ ὅλων τῶν τότε γνωστῶν χωρῶν καὶ λαῶν.

Ὑποστηρίζεται ὑπό τινων ὅτι ὁ Ἡρόδοτος ἦτο ἐξ ἐπαγγέλματος λογοποιός, δηλαδὴ ἔγραφε καὶ ἀνεγίνωσκε λόγους, διὰ τοὺς ὁποίους γενναιοδώρως πολλάκις ἠμείβετο. Λέγεται ὅτι οἱ Ἀθηναῖοι συνεκινήθησαν τόσον, ὅτε εἰς ἐπήκοον αὐτῶν ἀνέγνωσε μέρος τῆς ἱστορίας του ἀναφερόμενον εἰς τὰ κατορθώματα τῶν προγόνων των καὶ παρέχον κατὰ πᾶσαν πιθανότητα πολυτίμους εἰδήσεις περὶ χωρῶν πολιτικῶς σπουδαιοτάτων διὰ τὰς Ἀθήνας, ὥστε ἐψήφισαν ὑπὲρ αὐτοῦ χρηματικὴν δωρεὰν ἐκ δέκα ταλάντων.

Οὕτως ὁ Ἡρόδοτος ἔχων τὰ πρὸς τοῦτο ἀπαιτούμενα χρηματικὰ μέσα, ἐταξείδευσε κατὰ ξηρὰν καὶ κατὰ θάλασσαν μετὰ τὴν κατὰ τὸ ἔτος 447 π. Χ. γενομένην ἀποκατάστασιν τῶν σχέσεων μεταξὺ Ἑλλήνων καὶ Περσῶν, ἐπισκεφθεὶς ὄχι μόνον τὰ πλησίον τῆς πατρίδος του μέρη καὶ τὰ κατοικούμενα ὑπὸ τῶν Ἑλλήνων δυτικὰ καὶ βόρεια παράλια τῆς Μ. Ἀσίας, ἀλλὰ καὶ τὴν Αἴγυπτον μέχρι τῆς Ἐλεφαντίνης, τὴν Λιβύην μέχρι τῶν περιχώρων τῆς Κυρήνης, τὴν Τύρον, τὴν Κύπρον, τὴν Φοινίκην, τὴν Βαβυλωνίαν, τὸ ἀπέραντον Περσικὸν κράτος, τὰς ἐν τῷ Κιμμερίῳ Βοσπόρῳ Ἑλληνικὰς πόλεις καὶ τὴν γειτονικὴν πρὸς αὐτὰς Σκυθιαν, τὴν Θρᾴκην καὶ τὴν Μακεδονίαν, τὴν κυρίως Ἑλλάδα καὶ τὴν Κάτω Ἰταλίαν.

Κατὰ τὰς ἀποδημίας ταύτας ἐξηρεύνησε τὰς χώρας καὶ τὰ ἀξιοθέατα αὐτῶν καὶ συνέλεξεν ἐπιμελῶς πολυτίμους πληροφορίας ἀναφερομένας εἰς τὴν ἱστορίαν, τὴν γεωγραφίαν, τὸν φυσικὸν πλοῦτον, τὰ ἤθη καὶ ἔθιμα τῶν λαῶν τῶν κατοικούντων αὐτάς. Τοιουτοτρόπως ὁ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἡρόδοτος δὲν εἶναι μόνον πατὴρ τῆς ἱστορίας, ἀλλὰ καὶ ἱδρυτὴς τῆς γεωγραφίας καὶ ὁ σπουδαιότερος ἐξερευνητὴς τῆς ἀρχαιότητος.

Ὡς κυρίαν ὑπόθεσιν τῆς ἱστορίας του ὁ Ἡρόδοτος ἔλαβε τοὺς πολέμους τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους ἐπὶ Δαρείου καὶ Ξέρξου. Ἐπειδὴ ὅμως ἐνόμισεν ὅτι ἡ ἐξιστόρησις τῶν γεγονότων τούτων, τὰ ὁποῖα ἦσαν γνωστὰ εἰς τοὺς Ἕλληνας ἐν ταῖς λεπτομερείαις των, δὲν ἤθελε προκαλέσει τὸ διαφέρον τῶν συγχρόνων του, ἠθέλησε νὰ περιγράψῃ τὴν αἰτίαν τῶν πολέμων τούτων, ἀνατρέχων εἰς τὰς πρώτας συγκρούσεις τῆς Ἀσίας καὶ τῆς Εὐρώπης κατὰ τοὺς μυθικοὺς χρόνους, την ἁρπαγὴν τῆς Ἑλένης καὶ τὴν ἀπαγωγὴν τῆς Εὐρώπης καὶ τῆς Μηδείας. Ἐπιλαμβάνεται οὕτω τῆς ἱστορίας τῶν Λυδῶν, τῶν ὁποίων ὁ βασιλεὺς Κροῖσος ἐπετέθη τὸ πρῶτον καὶ ὑπεδούλωσεν ἑλληνικὰς πόλεις, ἐξετάζει τὴν περσικὴν μοναρχίαν καὶ τὴν ἱστορίαν τῶν εἰς αὐτὴν ἀλληλοδιαδόχως ὑποταχθέντων Αἰγυπτίων, Βαβυλωνίων καὶ Σκυθῶν καὶ δίδει μίαν εἰκόνα τῆς ἀναπτύξεως τῶν ἑλληνικῶν πόλεων, τῶν μεταξύ των φιλονικιῶν καὶ τῶν διαθέσεων, αἱ ὁποῖαι ἐκράτουν παρ' αὐταῖς κατὰ τοὺς πρὸ τῶν περσικῶν πολέμων χρόνους.

Ἡ ἀξία τοῦ ἔργου του ἔγκειται κυρίως εἰς τὴν ὑπόθεσιν αὐτοῦ. Διότι ἀφ' ἑνὸς μὲν ἐξέλεξε καὶ κατέστησε κέντρον τῆς ἀφηγήσεώς του τὸ λαμπρότατον μέρος τῆς ἀρχαίας ἱστορίας, τὸν ἡρωϊκὸν δηλαδὴ ἀγῶνα τοῦ μικροῦ ἑλληνικοῦ ἔθνους πρὸς τὴν ἀπέραντον περσικὴν μοναρχίαν, ἀφ' ἑτέρου δὲ ἐνέπλεξεν εἰς αὐτὸ πλεῖστα ὅσα περὶ τῶν ἠθῶν καὶ ἐθίμων τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων καὶ κατέστησε τοῦτο σύγγραμμα μεγάλου ἐνδιαφέροντος. Συνδέων τὴν φιλομάθειαν μὲ τὴν ἀντιληπτικότητα ἀμερολήπτου παρατηρητοῦ, παρέχει ἀνεξάντλητον πλῆθος ἐθνογραφικῶν πληροφοριῶν δι' ὅλους σχεδὸν τοὺς λαοὺς τοῦ τότε γνωστοῦ κόσμου. Δίκαιος πρὸς ὅλους ἠθέλησε πάντοτε νὰ εὕρῃ τὴν ἀλήθειαν. Παρὰ ταῦτα ἀνευρίσκονται σποραδικῶς ἐν τῇ ἱστορίᾳ του ἀνα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κρίβειαι σημαντικαί. Αἱ ἀνακρίβειαι αὗται εἶναι ἀναπόφευκτα ἐπακολουθήματα τῶν πηγῶν του, ὀφείλονται δηλαδὴ μᾶλλον εἰς τὴν ἄγνοιαν τῶν ξένων γλωσσῶν, τὴν ἀμάθειαν ἢ τὴν κακοπιστίαν τῶν πληροφορητῶν του καὶ τὴν βαθεῖαν καὶ ἀσυνείδητον τάσιν τῆς μνήμης τῶν ἀνθρώπων πρὸς ποιητικὴν διακόσμησιν τοῦ παρελθόντος παρὰ εἰς πρόθεσιν διαστροφῆς τῆς ἀληθείας.

Τὴν ἱστορίαν του τελικῶς ἐπεξειργάσθη ὁ Ἡρόδοτος ἐν Θουρίοις, ἐκλήθη δὲ ὑπ' αὐτοῦ ἱστορίης ἀπόδεξις (=διήγησις). Οἱ γραμματικοὶ τῆς Ἀλεξανδρείας διῄρεσαν αὐτὴν εἰς ἐννέα βιβλία, ἕκαστον τῶν ὁποίων ὀνομάζεται μὲ τὸ ὄνομα μιᾶς τῶν Μουσῶν, ἤτοι Κλειώ, Εὐτέρπη, Θάλεια, Μελπομένη, Τερψιχόρη, Ἐρατώ, Πολύμνια, Οὐρανία, Καλλιόπη.

## 3. Η ΓΛΩΣΣΑ ΤΟΥ ΗΡΟΔΟΤΟΥ

Τὸ ἱστορικὸν ἔργον τοῦ Ἡροδότου ἔχει γραφῆ εἰς τὴν Ἰωνικὴν διάλεκτον, ἂν καὶ αὐτὸς ἦτο Δωριεύς. Τοῦτο ὀφείλεται εἰς τὸ ὅτι πάντες οἱ προγενέστεροι ἱστοριογράφοι (οἱ λογογράφοι) μετεχειρίσθησαν τὴν Ἰωνικὴν διάλεκτον, ἡ ὁποία οὕτως εἶχε καθιερωθῆ ὡς γλῶσσα τῆς ἱστοριογραφίας.

Ἡ σύνταξις τοῦ Ἡροδότου εἶναι ἁπλῆ. Ὁ λόγος του εἶναι ἀπερίοδος καὶ ἐν πολλοῖς ἄτεχνος, συνιστάμενος ἐκ μικρῶν προτάσεων συνδεομένων πρὸς ἀλλήλας χαλαρῶς κατὰ παράταξιν διὰ τοῦ τε καὶ τοῦ δέ. Χαρακτηριστικὸν τοῦ λόγου του εἶναι ἡ ἁπλότης, ἡ ἀφέλεια καὶ ἡ χάρις τῆς διηγήσεως.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## Β.΄ ΧΑΡΑΚΤΗΡΕΣ ΤΗΣ ΓΛΩΣΣΗΣ ΤΟΥ ΗΡΟΔΟΤΟΥ

### 1. Φωνήεντα

Παρ' Ἡροδότῳ σχεδὸν πανταχοῦ ὑπάρχει:

η ἀντὶ τοῦ παρ' Ἀττικοῖς ᾱ (*χώρη, θυσίη, τριηκόσιοι, πειρήσομαι, πέρην, Θρῆιξ, ἠήρ, νηός, πρῆγμα, πρήσσω, νηῦς, νησί*).

η ἀντὶ τοῦ παρ' Ἀττικοῖς ᾰ (*πρῴρη, ἀσθενείη*).

α » » » » ε (*τάμνω, τράπω, μέγαθος*).

α » » » » η (*μεσαμβρίη, ἀμφισβατέω* καὶ εἰς τοὺς τύπους τῶν ῥημάτων *χράω* καὶ *χράομαι*, τὰ ὁποῖα δὲν συναιροῦνται, ὅπως παρ' Ἀττικοῖς, εἰς *η* ἀλλ' εἰς *α*).

α ἀντὶ τοῦ ο (*ἀρρωδέω*).

ε » » α (*ἔρσην, τέσσερες*).

ε » » ει (*ἐς, κρέσσων, πλέων, μέζων, βαθέα, θήλεα, ἔδεξα, ἔργω, ἔωθα, ἐπιτήδεος*).

ι ἀντὶ τοῦ ιε (*ἱρός, ἱρεύς, ἱρήιον*).

ω » » αυ (*θῶμα, θωμάζω, τρῶμα*),

ω » » ου (*ὦν*).

ω » » οη (*βωθέω, ὀγδώκοντα*).

αι » » α (*αἰεί, αἰετός*).

ει » » ε (*εἴρομαι, εἰρωτέω, εἵνεκεν, ξεῖνος*).

ου » » ο (*νοῦσος, μοῦνος, οὔνομα, γούνατα*).

ωυ » » αυ (*ἐμεωυτοῦ, σεωυτοῦ, ἑωυτοῦ*).

ηι » » ει (*βασιληίη, ἱρήιον, ἀνδρήιος*).

### 2. Συναίρεσις

Τὰ φωνήεντα τὰ συναιρούμενα ἐν τῇ Ἀττικῇ διαλέκτῳ ἔν τε τῇ κλίσει καὶ ἐν τῇ ῥίζῃ παρ' Ἡροδότῳ μένουσι συνήθως

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀσυναίρετα (***καλέω, καλέεις, κάλεε, καλέειν, πείθεο, φαίνεαι, μενέομεν, ἀποβαλέεις, πλόος, βασιλέι, βασιλέες, ῥίγεϊ, γένεος, χρύσεος, ἀληθέα, ὀιστός, ἄεθλος, ῥέεθρον, πατρώιος, ῥηίδιος, χρηίζω, δηιόω***).

## 3. Χασμωδία

Ἡ χασμωδία παρ' Ἡροδότῳ εἶναι συνηθεστάτη· οὕτω ἐλλείπει.

α΄) Τὸ εὐφωνικὸν ***ν*** (***παίουσι αὐτούς, θυσίαι εἰσὶ αἵδε***).

β΄) Τὸ ***σ*** ἐν τοῖς ***ἄχρι, μέχρι, οὕτω***.

γ΄) Τὸ ***κ*** εἰς τὸ ***οὐ*** πρὸ φωνήεντος (***οὐ εἶπας***).

## 4. Ἔκθλιψις καὶ κρᾶσις

Ἡ ἔκθλιψις καὶ ἡ κρᾶσις εἶναι σπανία παρ' Ἡροδότῳ. Ἰδιάζουσα παρ' αὐτῷ εἶναι ἡ κρᾶσις τοῦ ***ο—α*** εἰς ***ω*** (***ὠνήρ, ὥνθρωπος, ὦλλοι, τὠρχαῖον, ὠυτός, τωὐτό***).

## 5. Σύμφωνα

Παρ' Ἡροδότῳ ὑπάρχει:

***τ*** ἀντὶ ***θ*** ἐν τῷ ***αὖτις***.

***κ*** ἀντὶ ***χ*** ἐν τοῖς ***δέκομαι, οὐκί***.

***σσ*** ἀντὶ ***ττ*** (***γλῶσσα, θάλασσα, ἐλάσσων, τάσσω***).

***ξ*** ἀντὶ ***ττ*** ἐν τοῖς ***διξός, τριξός***.

Αἱ ἐρωτηματικαὶ καὶ ἀόριστοι ἀντωνυμίαι καὶ τὰ ἐπιρρήματα, τῶν ὁποίων τὸ θέμα ἀρχίζει ἀπὸ ***π*** ἔχουν ἀντ' αὐτοῦ ***κ*** (***κοῖος, κόσος, κότερος, κῇ, κοῦ, κόθεν, κότε, ὁκοῖος, ὁκόσος***). Ἐξαιρεῖται τὸ ***ὁποδαπός***.

Μετάθεσις τοῦ δασέος γίνεται ἐν τοῖς ***ἐνθεῦτεν*** (ἐντεῦθεν), ***ἐνθαῦτα*** (ἐνταῦθα), ***κιθὼν*** (χιτών).

Τὰ ψιλὰ δὲν τρέπονται εἰς δασέα πρὸ φωνήεντος δασυνομένου (***ἀπ' οὗ, μετ' ἅ, ἀπικνέεσθαι, ἀπιστάναι, αὐτημερόν, ἐπεξῆς, ὑπ' ἑνός***).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 6. Πρωτόκλιτα ὀνόματα

Ἡ γενικὴ τοῦ ἑνικοῦ τῶν εἰς **—ης** ὀνομάτων τῆς πρώτης κλίσεως λήγει παρ' Ἡροδότῳ εἰς—*εω* (*Πέρσης—Πέρσεω, Ξέρξης—Ξέρξεω, πολιήτης—πολιήτεω*).

Ὁμοίως εἰς **—εω** καὶ ὄχι εἰς **—εεω** λήγει ἡ γενικὴ τοῦ ἑνικοῦ τῶν εἰς **—εης** ληγόντων ὀνομάτων (*βορέης—βορέω, Ἑρμέης—Ἑρμέω*).

Ἡ αἰτιατικὴ τοῦ ἑνικοῦ τῶν εἰς **—ης** κυρίων ὀνομάτων λήγει ἄλλοτε μὲν εἰς **—ην**, ἄλλοτε δὲ εἰς **—εα** (*Ξέρξην* καὶ *Ξέρξεα*).

Ἡ γενικὴ τοῦ πληθυντικοῦ οὐσιαστικῶν καὶ ἐπιθέτων λήγει εἰς **—εων** (*τιμέων, πολιητέων, λοιπέων, μελαινέων, πασέων, αὐτέων, ἁρπασθεισέων*).

Σημ. Τοῦ κανόνος τούτου ἐξαιροῦνται τὰ θηλυκὰ τῶν βαρυτόνων ἐπιθέτων, μετοχῶν καὶ ἀντωνυμιῶν εἰς—*ος, η, ον*, τῶν ὁποίων ἡ γενικὴ τοῦ πληθυντικοῦ εἶναι ὁμοία πρὸς τὴν τῶν ἀρσενικῶν (*ἄλλων, φίλων, ἐκείνων, ἁλισκομένων, τούτων*).

Ἡ δοτικὴ τοῦ πληθυντικοῦ οὐσιαστικῶν καὶ ἐπιθέτων λήγει εἰς **—ῃσι** (*τιμῇσι, χώρῃσι, αὐτῇσι, λοιπῇσι*).

Σημ. Ἐκ τῶν οὐσιαστικῶν καὶ ἐπιθέτων τῆς πρώτης κλίσεως, ὅσα παρ' Ἀττικοῖς λήγουν εἰς *α* μακρόν, τρέπουσι τοῦτο εἰς *η* εἰς ὅλας τὰς πτώσεις τοῦ ἑνικοῦ (*χώρη, χώρης, χώρῃ, χώρην· ἰσχυρή, ἰσχυρῆς, ἰσχυρῇ*).

Ἀντιθέτως τὸ *α* τῆς ὀνομαστικῆς καὶ αἰτιατικῆς μένει ἀμετάβλητον, ὅταν εἶναι βραχὺ (*μοῖρα, ἀλήθεια, οὐδεμία—μοῖραν, ἀλήθειαν, οὐδεμίαν*).

## 7. Δευτερόκλιτα ὀνόματα

Ἡ δοτικὴ τοῦ πληθυντικοῦ τῶν δευτεροκλίτων ὀνομάτων λήγει εἰς **—οισι** (*λόγοισι, θεοῖσι, νόμοισι, καλοῖσι*).

Σημ. Κατὰ τὴν δευτέραν Ἀττικὴν κλίσιν ὀλίγα ὀνόματα κλίνονται (*Μενέλεως, Μίνως, Ἄθως*).

Ἀντὶ τῶν *λεώς, νεώς, λαγώς, κάλως* ὁ Ἡρόδοτος μεταχειρίζεται τοὺς Ἰωνικοὺς τύπους *ληός, νηός, λαγός, κάλος*.

Ἀντὶ τῶν ἐπιθέτων *πλέως, ἵλεως, ἀξιόχρεως* μεταχειρίζεται τοὺς Ἰωνικοὺς τύπους *πλέος, πλέη, πλέον—ἵλεος, ἵλεον—ἀξιόχρεος, ἀξιόχρεον*.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 8. Τριτόκλιτα οὐσιαστικὰ

Τὰ φωνηεντόληκτα εἰς **—ευς** κλίνονται ὡς ἑξῆς:

**βασιλεύς, βασιλέος, βασιλέϊ, βασιλέα, βασιλεῦ**
**βασιλέες, βασιλέων, βασιλεῦσι, βασιλέας.**

Τὰ φωνηεντόληκτα εἰς **—ις** κλίνονται ὡς ἑξῆς:

**πόλις, πόλιος, πόλι, πόλιν, πόλι**
**πόλις ἤ πόλιες, πολίων, πόλισι, πόλις ἤ πόλιας.**

Τὰ κύρια ὀνόματα, τὰ ὁποῖα παρ' Ἀττικοῖς λήγουν εἰς **—κλῆς** κλίνονται παρ' Ἡροδότῳ ὡς ἑξῆς:

**Ἡρακλέης, Ἡρακλέος, Ἡρακλέϊ, Ἡρακλέα, Ἡράκλεες.**

Τὰ οὐδέτερα σιγμόληκτα οὐσιαστικὰ εἰς **—ος** δὲν συναιροῦνται (**γένος, γένεος, γένεϊ, γένεα, γενέων**).

Τὰ οὐσιαστικὰ εἰς **—υς** γεν. **—υος** σχηματίζουν τὴν αἰτιατικὴν τοῦ πληθυντικοῦ εἰς **—υς** καὶ **—υας** (**ἰχθῦς** καὶ **ἰχθύας**).

Τὸ οὐσιαστικὸν **πῆχυς** κλίνεται ὡς ἑξῆς:

**πῆχυς, πήχεος, πήχεϊ, πῆχυν**
**πήχεες, πηχέων, πήχεσι, πήχεας.**

Ἐκ τῶν εἰς **—ας** σιγμοληκτων οὐδετέρων τὸ **κέρας** κλίνεται ὡς ἑξῆς:

**κέρας, κέρεος, κέρεϊ, κέρεα, κερέων.**

Ὁμοίως πρὸς τὸ **κέρας** κλίνονται τὸ **γέρας** καὶ **τέρας.**

Τὸ **γῆρας** καὶ **κρέας** κλίνονται ὡς ἑξῆς:

**γῆρας, γήραος, γήραϊ.**
**κρέας, κρέως, κρέα, κρεῶν, κρέεσσι.**

Τὸ ὄνομα **νηῦς** κλίνεται ὡς ἑξῆς:

**νηῦς, νεός, νηΐ, νέα**
**νέες, νεῶν, νηυσί, νέας.**

## 9. Τριτόκλιτα ἐπίθετα

Τὰ ἐπίθετα εἰς **—ης** καὶ **—υς** μένουν ἀσυναίρετα:

**ἀληθής, ἀληθέος, ἀληθέϊ, ἀληθέα, ἀληθέες** κλπ.
**ἡδύς, ἡδέος, ἡδέϊ, ἡδὺν** κλπ.

Ἀντὶ τοῦ ἀρσενικοῦ **πολὺς** ὑπάρχει πολλάκις **πολλός,** τὸ δὲ οὐδέτερον ἀπαντᾷ **πολλὸν** καὶ **πολύ.**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 10. Παραθετικὰ

Τὰ ἐπίθετα εἰς —**εος** καὶ **ήιος** (=ἀττ. **ειος**) φυλάττουν τὸ **ο** εἰς τὰ παραθετικά, ἂν καὶ προηγεῖται αὐτοῦ βραχεῖα συλλαβὴ (**ἐπιτηδεότερος, ἀνδρηιότερος, οἰκηιότατος**).

Τὸ **ταχὺς** ἔχει παραθετικὰ **ταχύτερος** καὶ **θάσσων, τάχιστος**.

Ἡ ὀνομαστικὴ τοῦ συγκριτικοῦ τοῦ **πολλὸς** εἶναι **πλέων, πλέον** καὶ **πλεῦν**, αἱ δὲ ἄλλαι πτώσεις **πλέονι, πλέονα** καὶ **πλέω, πλεόνων, πλέοσι** καὶ **πλεῦνος, πλεῦνα, πλεῦνες, πλεύνων, πλεῦνας**.

## 11. Ἀριθμητικὰ

Τὸ ἀριθμητικὸν **δύο** ἄλλοτε μὲν εἶναι ἄκλιτον, ἄλλοτε δὲ κλίνεται (**δύο, δυῶν, δυοῖσι, δύο**).

Τὸ **δώδεκα** λέγεται **δυώδεκα**, τὸ **τέσσαρες, τέσσερες** καὶ τὸ **ὀγδοήκοντα, ὀγδώκοντα**.

## 12. Ἀντωνυμίαι

Αἱ προσωπικαὶ ἀντωνυμίαι παρ' Ἡροδότῳ ἐκτὸς τῶν Ἀττικῶν τύπων ἔχουν καὶ τοὺς ἑξῆς Ἰωνικούς :

Ἑνικ. Γεν. α.΄ προσ. **ἐμέο, ἐμεῦ, μευ**
β.΄ προσ. **σεο, σεῦ, σευ**
γ.΄ προσ. **εὗ**
Δοτ. β.΄ προσ. **τοι**
γ.΄ προσ. **οἱ (=αὐτῷ, αὐτῇ)**
Αἰτ. γ.΄ προσ. **μιν (=αὐτόν, αὐτὴν** καὶ **ἑαυτόν, ἑαυτὴν)**

Πληθ. ἀρ. Γεν. α.΄ προσ. **ἡμέων**
β.΄ προσ. **ὑμέων**
γ.΄ προσ. **σφέων** καὶ **σφεων**
Δοτ. γ.΄ προσ. **σφίσι (=ἑαυτοῖς, ἑαυταῖς)** καὶ **σφι (=αὐτοῖς, αὐταῖς)**
Αἰτ. α.΄ προσ. **ἡμέας**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Αἰτ. β.΄ προσ. **ὑμέας**
γ.΄ προσ. **σφέας** καὶ **σφεας.**

Τὸ ἄρθρον **ὁ, ἡ, τὸ** ἔχει πολλάκις σημασίαν δεικτικῆς ἀντωνυμίας.

Ἡ δεικτικὴ ἀντωνυμία **ὅδε** ἔχει δοτικὴν πληθυντικοῦ ἀρσ. **τοισίδε** καὶ θηλ. **τῃσίδε.**

Ἡ ἐρωτηματικὴ ἀντωνυμία **τίς** ἔχει τοὺς ἰωνικοὺς τύπους **τέο** καὶ **τεῦ, τέῳ, τέοισι.** Κατὰ τὸν αὐτὸν τρόπον κλίνεται καὶ ἡ ἀόριστος ἀντωνυμία **τίς**, ἀλλ' ἐγκλίνεται.

Αἱ ἀναφορικαὶ ἀντωνυμίαι, πλὴν τῶν ὀνομαστικῶν **ὅς, ἥ, οἵ, αἵ**, σχηματίζουν τὰς ἄλλας πτώσεις συνήθως μετὰ τοῦ **τ** (**τοῦ τῆς, τῷ τά, τῶν**). Μετὰ τὰς προθέσεις ὅμως, αἱ ὁποῖαι πάσχουν ἔκθλιψιν, τίθενται οἱ τύποι οἱ ἀρχόμενοι ἀπὸ φωνήεντος (**ἀπ' οὗ, ἐπ' ᾧ, δι' ἧς, μετ' ἥν**). Οἱ ἴδιοι τύποι ἄνευ τοῦ ἀρκτικοῦ **τ** εὑρίσκονται εἰς τὰς χρονικὰς ἐκφράσεις (**ἐν ᾧ, ἐξ οὗ, μέχρι οὗ, ἐς ὅ**).

Ἡ ἀναφορικὴ ἀντωνυμία **ὅστις** κλίνεται οὕτω :

Ἑν. **ὅστις, ὅτεο** καὶ **ὅτευ, ὅτεῳ**
Πληθ. **ὅτεων, ὁτέοισι**
Πληθ. οὐδ. ὀνομ. **ἅσσα** (=**ἅτινα**).

## 13. Αἱ καταλήξεις τῶν ῥημάτων

Πολλαὶ καταλήξεις, αἵτινες παρ' Ἀττικοῖς συναιροῦνται, παρ' Ἡροδότῳ μένουν ἀσυναίρετοι (**ἔσεαι, φαίνεαι, ἐγένεο, φανέωσι, στέωμεν, μενέω, σημανέω, βαλέεις**).

Ὁ ἐνεργητικὸς ὑπερσυντέλικος ἔχει τὰς καταλήξεις — **εα,— εας,—εε,—εατε** (**ἐώθεα, ἐώθεας, ἐώθεε, ἐωθέατε, ἐληλύθεε**).

Ἀντὶ τῶν καταλήξεων —**νται** καὶ —**ντο** ἀπαντοῦν παρ' Ἡροδότῳ αἱ —**αται** καὶ —**ατο** :

α΄) Εἰς τὴν ὁριστικὴν τοῦ παθητικοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν εἰς —**μι** ῥημάτων (**τιθέαται, ἱστέαται, διδόαται, ἐδεικνύατο, ἐπιστέατο**).

β΄) Εἰς τὴν ὁριστικὴν τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου (**ἡγέαται, ἀπίκαται (=ἀφιγμένοι εἰσί), ὡρμέαται, ἐτετάχατο, ἀπίκατο**).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γ΄) Εἰς ὅλας τὰς εὐκτικὰς (***ἀγοίατο, βουλοίατο, γευσαίατο***).

## 14. Αὔξησις

Ἡ συλλαβικὴ αὔξησις ἐλλείπει πολλάκις εἰς τὸν ὑπερσυντέλικον (***ἀναβεβήκεε, τετελευτήκεε, καταλέλειπτο, κατακέκριτο***).

Ἡ χρονικὴ αὔξησις οὐδέποτε παραλείπεται εἰς τὸν παρατατικὸν ***ἦσαν*** καὶ εἰς τοὺς ἀορίστους ***ἦλθον*** καὶ ***ἤλασαν***. Ἐκ τῶν ἄλλων ῥημάτων ἄλλα μὲν οὐδέποτε αὐξάνονται εἰς τοὺς ἱστορικοὺς χρόνους, ἄλλα δὲ ἄλλοτε μὲν αὐξάνονται, ἄλλοτε δὲ μένουν ἄνευ αὐξήσεως.

Τὰ θαμιστικὰ ῥήματα τὰ λήγοντα εἰς—***σκον*** καὶ—***σκόμην*** δὲν λαμβάνουν οὔτε χρονικὴν οὔτε συλλαβικὴν αὔξησιν (***ἄγεσκον, ποιέεσκον, πωλέεσκε, ἔσκον***, (=ἀττ. ***ἦσαν***), ***ὀδυρέσκετο***).

Τὸ ῥῆμα ***ὁρέω*** (=ἀττ. ***ὁράω***) λαμβάνει εἰς τὸν παρατατικὸν χρονικὴν αὔξησιν (***ὥρων***).

## 15. Ῥήματα συνῃρημένα

Τὰ εἰς ***—εω*** ῥήματα μένουν ὡς ἐπὶ τὸ πλεῖστον ἀσυναίρετα (***καλέω, καλέεις, καλέητε, καλέοιμεν, κάλεε, καλέειν, ἐκάλεον, καλέων, καλέεσθαι***). Πολλάκις τὸ ***—εο*** καὶ ***—εου*** τῶν ῥημάτων τούτων συναιροῦνται εἰς ***—ευ*** (***ποιεῦσι, ἐποίευν, ποιεῦντες, ἐποιεῦντο***).

Τὰ εἰς ***—αω*** συναιροῦνται ὅπως καὶ εἰς τὴν Ἀττικὴν διάλεκτον. Πολλάκις ὅμως ὑπάρχει ***ε*** ἀντὶ ***α*** πρὸ ἑπομένου ***ο*** [***ὁρέω, ὁρᾷς, ὁρᾷ, ὁρέομεν, ὁρᾶτε, ὁρέουσι, ὥρεον, ὥρας, ὥρα, ὡρέομεν, ὡρᾶτε, ὥρεον***].

Εἰς τὸ ῥῆμα ***χράομαι*** τὸ ***—αω*** γίνεται πανταχοῦ ***—εω*** [***χρέωνται, χρεώμενος, ἐχρέωντο***], τὸ δὲ ***αε*** καὶ ***αη*** γίνεται ***α*** [***χρᾶται, χρᾶσθαι***].

Τὰ εἰς ***—οω*** συναιροῦνται ὅπως καὶ εἰς τὴν Ἀττικὴν διά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λεκτον, μὲ μόνην τὴν διαφορὰν ὅτι ἀντὶ τοῦ ***—ου*** ἔχουν πολλάκις ***—ευ [δικαιεῦσι, ἀξιεύμενοι]***.

## 16. Ρήματα εἰς —μι

Τὰ εἰς ***—μι*** ῥήματα σχηματίζουν παρ' Ἡροδότῳ περισσοτέρους ἢ παρὰ τοῖς Ἀττικοῖς τύπους κατὰ τὰ συνῃρημένα εἰς ***—ω [τιθεῖ*** καὶ ***τίθεισι***, γ.' πληθ. ***τιθεῖσι***, παρατ. ***ἐτίθεα, ἐτίθεε***, ἀόρ. ***προσθέοιτο, ἱστᾷ, διδοῖς, ἀπιεῖ, ἀπιεῖσι]***.

Ὁμοίως σχηματίζουν τύπους τινὰς κατὰ τὰ εἰς ***—ύω [ἐδείκνυε]***.

Τὸ ***εἰμὶ*** κλίνεται ὡς ἑξῆς :

Ὁριστ. ***εἰμί, εἶς***, α'. πληθ. ***εἰμέν***
Ὑποτ. ***ἔω, ἦς, ἦ, ἔωσι***
Εὐκτ. ***εἴην, εἴησαν***
Μετοχὴ ***ἐών, ἐοῦσα, ἐόν***
Παρατ. ***ἔα*** καὶ ***ἔατε***, πολλάκις δὲ ***ἔσκε, ἔσκον*** καὶ ***ἦν***
Ἐπίρ. ***ἐόντως***.

Τὸ ῥῆμα ***εἶμι*** ἔχει παρατατικὸν ***ἤια, ἤιε, ἤισαν***.

## 17. Ἀνώμαλα ρήματα

***ἄγω***· μέσος ἀόρ. α'. ***ἐσαξάμην, προεσαξάμην***.

***αἱρέω***· παρακ. ***ἀραίρηκα, ἀραίρημαι, διαραίρημαι***.

***ἁνδάνω***· ἀόρ. ***ἕαδον***.

***ἔρδω***· παρακ. ***ἔοργα***.

***ἵημι***· ***ἀπίεσαν, ἀπειμένος, ἀπεῖτο, ἀπείθη, ἀνειμένος, μεμετιμένος, μετείθη***.

***λαγχάνω***· μέλ. ***λάξομαι***, παρακ. ***λέλογχα***.

***λαμβάνω***· μέλ. ***λάμψομαι***, παρακ. ***λελάβηκα, λέλαμμαι, διαλελαμμένος***, ἀόρ. ***ἐλάμφθην***.

***λέγω***· ἀόρ. ***εἶπα***, ἀπαρ. ***εἶπαι, εἴπασθαι***, μετ. ***εἴπας***, παθ. ἀόρ. ***εἰρέθην***, μετ. ***ῥηθείς***, μέλ. παθ. ***εἰρήσεται***.

***οἶδα***· ***οἶδας, οἶδε, ἴδμεν*** καὶ ***οἴδαμεν, ἴστε, οἴδασι*** καὶ ***ἴσασι***. Ὑποτ. ***εἰδέω***, εὐκτ. ***εἰδείην***, παρατ. ***ᾔδεα, ᾔδεε, ᾐδέα-***



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**τε, ἤδεσαν**. Μέλλ. **εἰδήσω**.

**οἶκα** (=ἀττ. **ἔοικα**)· **οἶκε, οἴκασι, οἰκώς, οἰκός**.

**ὁράω**· παρατ. **ὥρων**, παρακ. **ὄπωπα**, ὑπερσ. **ὀπώπειν**.

**φέρω**· ἀόρ. **ἤνεικα**, ἀπαρ. **ἐνεῖκαι**, μέσ. ἀόρ. **ἠνεικάμην**, παθ. ἀόρ. **ἠνείχθην**, μετοχ. **ἐνειχθείς**.

## 18. Προθέσεις

Παρ' Ἡροδότῳ πολλαὶ τῶν προθέσεων διατηροῦν τὴν ἀρχικὴν ἐπιρρηματικὴν σημασίαν των :

**ἐν δὲ**=ἐν δὲ τούτοις (=πρὸς τούτοις, ἐν τῷ μεταξύ).

**ἐπὶ δὲ**=ἐπὶ δὲ τούτοις (=μετὰ ταῦτα).

**μετὰ δὲ**=μετὰ δὲ ταῦτα.

**πρὸς**=πρὸς τούτοις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

# ΚΕΙΜΕΝΟΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΗΡΟΔΟΤΟΥ
## ΤΟΥ
# ΑΛΙΚΑΡΝΗΣΕΟΣ ΙΣΤΟΡΙΗ

## ΙΣΤΟΡΙΩΝ ΠΡΩΤΗ
## ΕΠΙΓΡΑΦΟΜΕΝΗ ΚΛΕΙΩ

### Α.΄ ΗΘΗ ΚΑΙ ΕΘΙΜΑ ΤΩΝ ΠΕΡΣΩΝ

Πέρσας δὲ οἶδα νόμοισι τοιοισίδε χρωμένους· ἀγάλ- 131
ματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ ποιευμένους ἱδρύεσθαι, ἀλλὰ καὶ τοῖσι ποιεῦσι μωρίην ἐπιφέρουσι, ὡς μὲν ἐμοὶ δοκέειν, ὅτι οὐκ ἀνθρωποφυέας ἐνόμισαν τοὺς θεοὺς κατά περ οἱ Ἕλληνες εἶναι. Οἱ δὲ νομίζουσι Διὶ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν ὀρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες. Θύουσι δὲ ἡλίῳ τε καὶ σελήνῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι. Τούτοισι μὲν δὴ θύουσι μούνοισι ἀρχῆθεν, ἐπιμεμαθήκασι δὲ καὶ τῇ Οὐρανίῃ θύειν, παρά τε Ἀσσυρίων μαθόντες καὶ Ἀραβίων. Καλέουσι δὲ Ἀσσύριοι τὴν Ἀφροδίτην Μύλιττα, Ἀράβιοι δὲ Ἀλιλάτ, Πέρσαι δὲ Μίτραν.

Θυσίη δὲ τοῖσι Πέρσῃσι περὶ τοὺς εἰρημένους θεοὺς 132
ἥδε κατέστηκε. Οὔτε βωμοὺς ποιεῦνται οὔτε πῦρ ἀνακαίουσι μέλλοντες θύειν. Οὐ σπονδῇ χρέωνται, οὐκὶ αὐλῷ, οὐ στέμμασι, οὐκὶ οὐλῇσι. Τῶν δὲ ὡς ἑκάστῳ θύειν θέλῃ, ἐς χῶρον καθαρὸν ἀγαγὼν τὸ κτῆνος καλέει τὸν θεὸν ἐστεφανωμένος τὸν τιάρην μυρσίνῃ μάλιστα. Ἑωυτῷ μὲν δὴ τῷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θύοντι ἰδίῃ μούνῳ οὔ οἱ ἐγγίνεται ἀρᾶσθαι ἀγαθά, ὁ δὲ τοῖσι πᾶσι Πέρσῃσι κατεύχεται εὖ γίνεσθαι καὶ τῷ βασιλέϊ· ἐν γὰρ δὴ τοῖσι ἅπασι Πέρσῃσι καὶ αὐτὸς γίνεται. Ἐπεὰν δὲ διαμιστύλας κατὰ μέρεα τὸ ἱρήιον ἑψήσῃ τὰ κρέα, ὑποπάσας ποίην ὡς ἁπαλωτάτην, μάλιστα δὲ τὸ τρίφυλλον, ἐπὶ ταύτης ἔθηκεν ὦν πάντα τὰ κρέα. Διαθέντος δὲ αὐτοῦ μάγος ἀνὴρ παρεστεὼς ἐπαείδει θεογονίην, οἵην δὴ ἐκεῖνοι λέγουσι εἶναι τὴν ἐπαοιδήν· ἄνευ γὰρ δὴ μάγου οὔ σφι νόμος ἐστὶ θυσίας ποιέεσθαι. Ἐπισχὼν δὲ ὀλίγον χρόνον ἀποφέρεται ὁ θύσας τὰ κρέα καὶ χρᾶται ὅ τι μιν λόγος αἱρέει.

133 Ἡμέρην δὲ ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι, τῇ ἕκαστος ἐγένετο. Ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἄλλων δικαιεῦσι προτίθεσθαι· ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ἵππον καὶ κάμηλον καὶ ὄνον προτιθέαται ὅλους ὀπτοὺς ἐν καμίνοισι, οἱ δὲ πένητες αὐτῶν τὰ λεπτὰ τῶν προβάτων προτιθέαται.

Σίτοισι δὲ ὀλίγοισι χρέωνται, ἐπιφορήμασι δὲ πολλοῖσι καὶ οὐκ ἀλέσι· καὶ διὰ τοῦτό φασι Πέρσαι τοὺς Ἕλληνας σιτεομένους πεινῶντας παύεσθαι, ὅτι σφι ἀπὸ δείπνου παραφορέεται οὐδὲν λόγου ἄξιον, εἰ δέ τι παραφέροιτο, ἐσθίοντας ἂν οὐ παύεσθαι.

Οἴνῳ δὲ κάρτα προσκέαται, καί σφι οὐκ ἐμέσαι ἔξεστι, οὐκὶ οὐρῆσαι ἀντίον ἄλλου. Ταῦτα μέν νυν οὕτω φυλάσσεται, μεθυσκόμενοι δὲ ἐώθασι βουλεύεσθαι τὰ σπουδαιέστατα τῶν πρηγμάτων· τὸ δ' ἂν ἅδῃ σφι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται. Καὶ ἢν μὲν ἅδῃ καὶ νήφουσι, χρέωνται αὐτῷ, ἢν δὲ μὴ ἅδῃ, μετιεῖσι. Τὰ δὲ ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι.

134 Ἐντυγχάνοντες δ' ἀλλήλοισι ἐν τῇσι ὁδοῖσι, τῷδε ἄν τις διαγνοίη εἰ ὅμοιοί εἰσι οἱ συντυγχάνοντες· ἀντὶ γὰρ τοῦ προσαγορεύειν ἀλλήλους φιλέουσι τοῖσι στόμασι, ἢν δὲ ᾖ οὕτερος ὑποδεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται, ἢν δὲ πολλῷ ᾖ οὕτερος ἀγεννέστερος, προσπίπτων προσκυνέει τὸν ἕτερον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τιμῶσι δὲ ἐκ πάντων τοὺς ἄγχιστα ἑωυτῶν οἰκέοντας μετά γε ἑωυτούς, δεύτερα δὲ τοὺς δευτέρους, μετὰ δὲ κατὰ λόγον προβαίνοντες τιμῶσι· ἥκιστα δὲ τοὺς ἑωυτῶν ἑκαστάτω οἰκημένους ἐν τιμῇ ἄγονται, νομίζοντες ἑωυτοὺς εἶναι ἀνθρώπων μακρῷ τὰ πάντα ἀρίστους, τοὺς δὲ ἄλλους κατὰ λόγον τὸν λεγόμενον τῆς ἀρετῆς ἀντέχεσθαι, τοὺς δὲ ἑκαστάτω οἰκέοντας ἀπὸ ἑωυτῶν κακίστους εἶναι.

Ἐπὶ δὲ Μήδων ἀρχόντων καὶ ἦρχε τὰ ἔθνεα ἀλλήλων, συναπάντων μὲν Μῆδοι καὶ τῶν ἄγχιστα οἰκεόντων σφίσι, οὗτοι δὲ καὶ τῶν ὁμούρων, οἱ δὲ μάλα τῶν ἐχομένων. Κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ οἱ Πέρσαι τιμῶσι· προέβαινε γὰρ δὴ τὸ ἔθνος ἄρχον τε καὶ ἐπιτροπεῦον.

Ξεινικὰ δὲ νόμαια Πέρσαι προσίενται ἀνδρῶν μάλι- 135
στα. Καὶ γὰρ δὴ τὴν Μηδικὴν ἐσθῆτα νομίσαντες τῆς ἑωυτῶν εἶναι καλλίω φορέουσι καὶ ἐς τοὺς πολέμους τοὺς Αἰγυπτίους θώρηκας. Ἄγονται δὲ ἕκαστος αὐτῶν πολλὰς κουριδίας γυναῖκας.

Ἀνδραγαθίη δὲ αὕτη ἀποδέδεκται· μετὰ τὸ μάχεσθαι 136
εἶναι ἀγαθόν, ὃς ἂν πολλοὺς ἀποδέξῃ παῖδας· τῷ δὲ τοὺς πλείστους ἀποδεικνύντι δῶρα ἐκπέμπει βασιλεὺς ἀνὰ πᾶν ἔτος. Τὸ πολλὸν δ' ἡγέαται ἰσχυρὸν εἶναι.

Παιδεύουσι δὲ τοὺς παῖδας ἀπὸ πενταέτεος ἀρξάμενοι μέχρι εἰκοσαέτεος τρία μοῦνα, ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθίζεσθαι. Πρὶν δὲ ἢ πενταέτης γένηται, οὐκ ἀπικνέεται ἐς ὄψιν τῷ πατρί, ἀλλὰ παρὰ τῇσι γυναιξὶ δίαιταν ἔχει. Τοῦδε δὲ εἵνεκα τοῦτο οὕτω ποιέεται, ἵνα, ἢν ἀποθάνῃ τρεφόμενος, μηδεμίαν ἄσην τῷ πατρὶ προσβάλλῃ.

Αἰνέω μέν νυν τόνδε τὸν νόμον, αἰνέω δὲ καὶ τόνδε, 137
τὸ μὴ μιῆς αἰτίης εἵνεκα μήτε αὐτὸν τὸν βασιλέα μηδένα φονεύειν, μήτε τῶν ἄλλων Περσέων μηδένα τῶν ἑωυτοῦ οἰκετέων ἐπὶ μιῇ αἰτίῃ ἀνήκεστον πάθος ἔρδειν· ἀλλὰ λογισάμενος ἢν εὑρίσκῃ πλέω τε καὶ μέζω τὰ ἀδικήματα ἐόντα τῶν ὑπουργημάτων, οὕτω τῷ θυμῷ χρᾶται. Ἀποκτεῖναι δὲ οὐδένα κω λέγουσι τὸν ἑωυτοῦ πατέρα οὐδὲ μητέρα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

138 Ἄσσα δέ σφι ποιέειν οὐκ ἔξεστι, ταῦτα οὐδὲ λέγειν ἔξεστι. Αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισται, δεύτερα δὲ τὸ ὀφείλειν χρέος, πολλῶν μὲν καὶ ἄλλων εἵνεκα, μάλιστα δὲ ἀναγκαίην φασὶ εἶναι τὸν ὀφείλοντα καί τι ψεῦδος λέγειν.

Ὃς ἂν δὲ τῶν ἀστῶν λέπρην ἢ λεύκην ἔχῃ, ἐς πόλιν οὗτος οὐ κατέρχεται οὐδὲ συμμίσγεται τοῖσι ἄλλοισι Πέρσῃσι. Φασὶ δέ μιν ἐς τὸν ἥλιον ἁμαρτόντα τι ταῦτα ἔχειν. Ξεῖνον δὲ πάντα τὸν λαμβανόμενον ὑπὸ τούτων ἐξελαύνουσι ἐκ τῆς χώρης, πολλοὶ καὶ τὰς λευκὰς περιστεράς, τὴν αὐτὴν αἰτίην ἐπιφέροντες.

Ἐς ποταμὸν δὲ οὔτε ἐνουρέουσι οὔτε ἐμπτύουσι, οὐ χεῖρας ἐναπονίζονται οὐδὲ ἄλλον οὐδένα περιορῶσι, ἀλλὰ σέβονται ποταμοὺς μάλιστα.

139 Καὶ τόδε ἄλλο σφι ὧδε συμπέπτωκε γίνεσθαι, τὸ Πέρσας μὲν αὐτοὺς λέληθε, ἡμέας μέντοι οὔ. Τὰ οὐνόματά σφι ἐόντα ὅμοια τοῖσι σώμασι καὶ τῇ μεγαλοπρεπείῃ τελευτῶσι πάντα ἐς τὠυτὸ γράμμα, τὸ Δωριέες μὲν σὰν καλέουσι, Ἴωνες δὲ σίγμα. Ἐς τοῦτο διζήμενος εὑρήσεις τελευτῶντα τῶν Περσέων τὰ οὐνόματα, οὐ τὰ μέν, τὰ δὲ οὔ, ἀλλὰ πάντα ὁμοίως.

140 Ταῦτα μὲν ἀτρεκέως ἔχω περὶ αὐτῶν εἰδὼς εἰπεῖν. Τάδε μέντοι ὡς κρυπτόμενα λέγεται καὶ οὐ σαφηνέως περὶ τοῦ ἀποθανόντος, ὡς οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς, πρὶν ἂν ὑπ' ὄρνιθος ἢ κυνὸς ἑλκυσθῇ. Μάγους μὲν γὰρ ἀτρεκέως οἶδα ταῦτα ποιέοντας· ἐμφανέως γὰρ δὴ ποιεῦσι. Κατακηρώσαντες δὲ ὦν τὸν νέκυν Πέρσαι γῇ κρύπτουσι.

Μάγοι δὲ κεχωρίδαται πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ τῶν ἐν Αἰγύπτῳ ἱρέων· οἱ μὲν γὰρ ἁγνεύουσι ἔμψυχον μηδὲν κτείνειν, εἰ μὴ ὅσα θύουσι· οἱ δὲ δὴ μάγοι αὐτοχειρίῃ πάντα πλὴν κυνὸς καὶ ἀνθρώπου κτείνουσι, καὶ ἀγώνισμα μέγα τοῦτο ποιεῦνται, κτείνοντες ὁμοίως μύρμηκάς τε καὶ ὄφις καὶ τἆλλα ἑρπετὰ καὶ πετεινά.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## Β.΄ ΗΘΗ ΚΑΙ ΕΘΙΜΑ ΤΩΝ ΒΑΒΥΛΩΝΙΩΝ

195 Ἐσθῆτι δὲ τοιῇδε Βαβυλώνιοι χρέωνται, κιθῶνι ποδηνεκέϊ λινέῳ· καὶ ἐπὶ τοῦτον ἄλλον εἰρίνεον κιθῶνα ἐπενδύνει καὶ χλανίδιον λευκὸν περιβαλλόμενος, ὑποδήματα ἔχων ἐπιχώρια, παραπλήσια τῇσι Βοιωτίῃσι ἐμβάσι. Κομῶντες δὲ τὰς κεφαλὰς μίτρῃσι ἀναδέονται, μεμυρισμένοι πᾶν τὸ σῶμα. Σφρηγῖδα δὲ ἕκαστος ἔχει καὶ σκῆπτρον χειροποίητον· ἐπ' ἑκάστῳ δὲ σκήπτρῳ ἔπεστι πεποιημένον ἤ μῆλον ἤ ῥόδον ἤ κρίνον ἤ αἰετὸς ἤ ἄλλο τι· ἄνευ γὰρ ἐπισήμου οὔ σφι νόμος ἐστὶ ἔχειν σκῆπτρον. Αὕτη μὲν δή σφι ἄρτισις περὶ τὸ σῶμά ἐστι.

196 Νόμοι δὲ αὐτοῖσι ὧδε κατεστᾶσι· ὁ μὲν σοφώτατος ὅδε κατὰ γνώμην τὴν ἡμετέρην, τῷ καὶ Ἰλλυριῶν Ἐνετοὺς πυνθάνομαι χρᾶσθαι. Κατὰ κώμας ἑκάστας ἅπαξ τοῦ ἔτεος ἑκάστου ἐποιέετο τάδε. Ὡς ἄν αἱ παρθένοι γινοίατο γάμων ὡραῖαι, ταύτας ὅκως συναγάγοιεν πάσας, ἐς ἓν χωρίον ἐσάγεσκον ἀλέας, πέριξ δὲ αὐτὰς ἵστατο ὅμιλος ἀνδρῶν. Ἀνιστὰς δὲ κατὰ μίαν ἑκάστην κῆρυξ πωλέεσκε, πρῶτα μὲν τὴν εὐειδεστάτην ἐκ πασέων, μετὰ δέ, ὅκως αὕτη εὑροῦσα πολλὸν χρυσίον πρηθείη, ἄλλην ἀνεκήρυσσε, ἥ μετ' ἐκείνην ἔσκε εὐειδεστάτη. Ἐπωλέοντο δὲ ἐπὶ συνοικήσι. Ὅσοι μὲν δὴ ἔσκον εὐδαίμονες τῶν Βαβυλωνίων ἐπίγαμοι, ὑπερβάλλοντες ἀλλήλους ἐξωνέοντο τὰς καλλιστευούσας· ὅσοι δὲ τοῦ δήμου ἔσκον ἐπίγαμοι, οὗτοι δὲ εἴδεος μὲν οὐδὲν ἐδέοντο χρηστοῦ, οἱ δ' ἄν χρήματά τε καὶ αἰσχίονας παρθένους ἐλάμβανον. Ὡς γὰρ δὴ διεξέλθοι ὁ κῆρυξ πωλέων τὰς εὐειδεστάτας τῶν παρθένων, ἀνίστη ἂν τὴν ἀμορφεστάτην ἢ εἴ τις αὐτέων ἔμπηρος ἦν, καὶ ταύτην ἀνεκήρυσσε, ὅστις θέλοι ἐλάχιστον χρυσίον λαβὼν συνοικέειν αὐτῇ, ἐς ὃ τῷ τὸ ἐλάχιστον ὑπισταμένῳ προσέκειτο· τὸ δὲ ἂν χρυσίον ἐγίνετο ἀπὸ τῶν εὐειδέων παρθένων, καὶ οὕτω αἱ εὔμορφοι τὰς ἀμόρφους καὶ ἐμπήρους ἐξεδίδοσαν.

Ἐκδοῦναι δὲ τὴν ἑωυτοῦ θυγατέρα, ὅτεῳ βούλοιτο ἑκα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στος, οὐκ ἐξῆν, οὐδὲ ἄνευ ἐγγυητέω ἀπαγαγέσθαι τὴν παρθένον πριάμενον, ἀλλ' ἐγγυητὰς χρῆν καταστήσαντα ἦ μὲν συνοικήσειν αὐτῇ, οὕτω ἀπάγεσθαι· εἰ δὲ μὴ συμφεροίατο, ἀποφέρειν τὸ χρυσίον ἔκειτο νόμος. Ἐξῆν δὲ καὶ ἐξ ἄλλης ἐλθόντα κώμης τὸν βουλόμενον ὠνέεσθαι.

197 Δεύτερος δὲ σοφίῃ ὅδε ἄλλος σφι νόμος κατέστηκε. Τοὺς κάμνοντας ἐς τὴν ἀγορὴν ἐκφορέουσι· οὐ γὰρ δὴ χρέωνται ἰητροῖσι. Προσιόντες ὦν πρὸς τὸν κάμνοντα συμβουλεύουσι περὶ τῆς νούσου, εἴ τις καὶ αὐτὸς τοιοῦτο ἔπαθε, ὁκοῖον ἂν ἔχῃ ὁ κάμνων, ἢ ἄλλον εἶδε παθόντα· ταῦτα προσιόντες συμβουλεύουσι καὶ παραινέουσι, ἅσσα αὐτὸς ποιήσας ἐξέφυγε ὁμοίην νοῦσον ἢ ἄλλον εἶδε ἐκφυγόντα. Σιγῇ δὲ παρεξελθεῖν τὸν κάμνοντα οὔ σφι ἔξεστι, πρὶν ἂν ἐπείρηται, ἥντινα νοῦσον ἔχει. Ταφαὶ δέ σφι ἐν μέλιτι, θρῆνοι δὲ παραπλήσιοι τοῖσι ἐν Αἰγύπτῳ.

200 Νόμοι μὲν δὴ τοῖσι Βαβυλωνίοισι οὗτοι κατεστᾶσι. Εἰσὶ δὲ αὐτῶν πατριαὶ τρεῖς, αἳ οὐδὲν ἄλλο σιτέονται εἰ μὴ ἰχθῦς μοῦνον, τοὺς ἐπείτε ἂν θηρεύσαντες αὐήνωσι πρὸς ἥλιον, ποιεῦσι τάδε· ἐσβάλλουσι ἐς ὅλμον καὶ λεήναντες ὑπέροισι σῶσι διὰ σινδόνος· καὶ ὃς μὲν ἂν βούληται αὐτῶν, ἅτε μᾶζαν μαξάμενος ἔχει, ὁ δὲ ἄρτου τρόπον ὀπτήσας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΙΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΗ
## ΕΠΙΓΡΑΦΟΜΕΝΗ ΕΥΤΕΡΠΗ

### ΗΘΗ ΚΑΙ ΕΘΙΜΑ ΤΩΝ ΑΙΓΥΠΤΙΩΝ

35 Αἰγύπτιοι ἅμα τῷ οὐρανῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ καὶ τῷ ποταμῷ φύσιν ἀλλοίην παρεχομένῳ ἢ οἱ ἄλλοι ποταμοί, τὰ πολλὰ πάντα ἔμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐστήσαντο ἤθεά τε καὶ νόμους, ἐν τοῖσι αἱ μὲν γυναῖκες ἀγοράζουσι καὶ καπηλεύουσι, οἱ δὲ ἄνδρες κατ' οἴκους ἐόντες ὑφαίνουσι· ὑφαίνουσι δὲ οἱ μὲν ἄλλοι ἄνω τὴν κρόκην ὠθέοντες, Αἰγύπτιοι δὲ κάτω. Τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλέων φορέουσι, αἱ δὲ γυναῖκες ἐπὶ τῶν ὤμων. Εὐμαρείῃ χρέωνται ἐν τοῖσι οἴκοισι, ἐσθίουσι δὲ ἔξω ἐν τῇσι ὁδοῖσι, ἐπιλέγοντες ὡς τὰ μὲν αἰσχρά, ἀναγκαῖα δέ, ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεών, τὰ δὲ μὴ αἰσχρὰ ἀναφανδόν. Ἱρᾶται γυνὴ μὲν οὐδεμία οὔτε ἔρσενος θεοῦ οὔτε θηλέης, ἄνδρες δὲ πάντων τε καὶ πασέων. Τρέφειν τοὺς τοκέας τοῖσι μὲν παισὶ οὐδεμία ἀνάγκη μὴ βουλομένοισι, τῇσι δὲ θυγατράσι πᾶσα ἀνάγκη καὶ μὴ βουλομένῃσι.

36 Οἱ ἱρέες τῶν θεῶν τῇ μὲν ἄλλῃ κομῶσι, ἐν Αἰγύπτῳ δὲ ξυρῶνται. Τοῖσι ἄλλοισι ἀνθρώποισι νόμος ἅμα κήδεϊ κεκάρθαι τὰς κεφαλὰς τοὺς μάλιστα ἱκνέεται, Αἰγύπτιοι δὲ ὑπὸ τοὺς θανάτους ἀνιεῖσι τὰς τρίχας αὔξεσθαι τάς τε ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ, τέως ἐξυρημένοι. Τοῖσι μὲν ἄλλοισι ἀνθρώποισι χωρὶς θηρίων ἡ δίαιτα ἀποκέκριται, Αἰγυπτίοισι δὲ ὁμοῦ θηρίοισι ἡ δίαιτά ἐστι. Ἀπὸ πυρῶν καὶ κριθέων ὦλλοι ζώουσι, Αἰγυπτίων δὲ τῷ ποιευμένῳ ἀπὸ τούτων τὴν ζόην ὄνειδος μέγιστόν ἐστι, ἀλλὰ ἀπὸ ὀλυρέων ποιεῦνται σιτία, τὰς ζειὰς μετεξέτεροι καλέουσι. Φυρῶσι τὸ μὲν σταῖς τοῖσι ποσί, τὸν δὲ πηλὸν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῇσι χερσὶ καὶ τὴν κόπρον ἀναιρέονται. Εἵματα τῶν μὲν ἀνδρῶν ἕκαστος ἔχει δύο, τῶν δὲ γυναικῶν ἓν ἑκάστη. Τῶν ἱστίων τοὺς κρίκους καὶ τοὺς κάλους οἱ μὲν ἄλλοι ἔξωθεν προσδέουσι, Αἰγύπτιοι δὲ ἔσωθεν. Γράμματα γράφουσι καὶ λογίζονται ψήφοισι Ἕλληνες μὲν ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα, Αἰγύπτιοι δὲ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ ποιεῦντες ταῦτα αὐτοὶ μέν φασι ἐπὶ δεξιὰ ποιέειν, Ἕλληνας δὲ ἐπ' ἀριστερά. Διφασίοισι δὲ γράμμασι χρέωνται, καὶ τὰ μὲν αὐτῶν ἱρά, τὰ δὲ δημοτικὰ καλέεται.

37 Θεοσεβέες δὲ περισσῶς ἐόντες μάλιστα πάντων ἀνθρώπων νόμοισι τοιοισίδε χρέωνται. Ἐκ χαλκέων ποτηρίων πίνουσι, διασμῶντες ἀνὰ πᾶσαν ἡμέρην, οὐκ ὁ μέν, ὁ δ' οὔ, ἀλλὰ πάντες. Εἵματα δὲ λίνεα φορέουσι αἰεὶ νεόπλυτα, ἐπιτηδεύοντες τοῦτο μάλιστα. Οἱ δὲ ἱρέες ξυρῶνται πᾶν τὸ σῶμα διὰ τρίτης ἡμέρης, ἵνα μήτε φθεὶρ μήτε ἄλλο μυσαρὸν μηδὲν ἐγγίνηταί σφι θεραπεύουσι τοὺς θεούς. Ἐσθῆτα δὲ φορέουσι οἱ ἱρέες λινέην μούνην καὶ ὑποδήματα βύβλινα· ἄλλην δέ σφι ἐσθῆτα οὐκ ἔξεστι λαβεῖν οὐδὲ ὑποδήματα ἄλλα. Λοῦνται δὲ δὶς τῆς ἡμέρης ἑκάστης ψυχρῷ καὶ δὶς ἑκάστης νυκτός. Ἄλλας τε θρησκηίας ἐπιτελέουσι μυρίας ὡς εἰπεῖν λόγῳ. Πάσχουσι δὲ καὶ ἀγαθὰ οὐκ ὀλίγα· οὔτε τι γὰρ τῶν οἰκηίων τρίβουσι οὔτε δαπανῶνται, ἀλλὰ καὶ σιτία σφί ἐστι ἱρὰ πεσσόμενα, καὶ κρεῶν βοέων καὶ χηνέων πλῆθός τι ἑκάστῳ γίνεται πολλὸν ἡμέρης ἑκάστης, δίδοται δέ σφι καὶ οἶνος ἀμπέλινος. Ἰχθύων δὲ οὔ σφι ἔξεστι πάσασθαι. Κυάμους δὲ οὔτε τι μάλα σπείρουσι Αἰγύπτιοι ἐν τῇ χώρῃ, τούς τε γινομένους οὔτε τρώγουσι οὔτε ἕψοντες πατέονται· οἱ δὲ δὴ ἱρέες οὐδὲ ὁρῶντες ἀνέχονται, νομίζοντες οὐ καθαρὸν εἶναί μιν ὄσπριον. Ἱρᾶται δὲ οὐκ εἷς ἑκάστου τῶν θεῶν, ἀλλὰ πολλοί, τῶν εἷς ἐστι ἀρχιερεύς· ἐπεὰν δέ τις ἀποθάνῃ, τούτου ὁ παῖς ἀντικατίσταται.

38 Τοὺς δὲ βοῦς τοὺς ἔρσενας τοῦ Ἐπάφου εἶναι νομίζουσι καὶ τούτου εἵνεκα δοκιμάζουσι αὐτοὺς ὧδε· τρίχα ἢν καὶ μίαν ἴδηται ἐπεοῦσαν μέλαιναν, οὐ καθαρὸν εἶναι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νομίζει. Δίζηται δὲ ταῦτα ἐπὶ τούτῳ τεταγμένος τῶν τις ἱρέων καὶ ὀρθοῦ ἑστεῶτος τοῦ κτήνεος καὶ ὑπτίου καὶ τὴν γλῶσσαν ἐξειρύσας, εἰ καθαρὴ τῶν προκειμένων σημηίων, τὰ ἐγὼ ἐν ἄλλῳ λόγῳ ἐρέω. Κατορᾷ δὲ καὶ τὰς τρίχας τῆς οὐρῆς, εἰ κατὰ φύσιν ἔχει πεφυκυίας. Ἦν δὲ τούτων πάντων ᾖ καθαρός, σημαίνεται βύβλῳ περὶ τὰ κέρεα εἱλίσσων καὶ ἔπειτα γῆν σημαντρίδα ἐπιπλάσας ἐπιβάλλει τὸν δακτύλιον· καὶ οὕτω ἀπάγουσι. Ἀσήμαντον δὲ θύσαντι θάνατος ἡ ζημίη ἐπικέεται. Δοκιμάζεται μέν νυν τὸ κτῆνος τρόπῳ τοιῷδε.

Θυσίη δέ σφι ἥδε κατέστηκε· ἀγαγόντες τὸ σεσημα- 39
σμένον κτῆνος πρὸς τὸν βωμόν, ὅκου ἂν θύωσι, πῦρ ἀνακαίουσι, ἔπειτα δὲ ἐπ' αὐτοῦ οἶνον κατὰ τοῦ ἱρηίου ἐπισπείσαντες καὶ ἐπικαλέσαντες τὸν θεὸν σφάζουσι, σφάξαντες δὲ ἀποτάμνουσι τὴν κεφαλήν. Σῶμα μὲν δὴ τοῦ κτήνεος δείρουσι, κεφαλῇ δὲ κείνῃ πολλὰ καταρησάμενοι ἐκβάλλουσι ἐς τὸν ποταμόν. Καταρῶνται δὲ τάδε λέγοντες τῇσι κεφαλῇσι, εἴ τι μέλλοι ἤ σφίσι τοῖσι θύουσι ἢ Αἰγύπτῳ τῇ συναπάσῃ κακὸν γίνεσθαι, ἐς κεφαλὴν ταύτην τραπέσθαι. Κατὰ μέν νυν τὰς κεφαλὰς τῶν θυομένων κτηνέων καὶ τὴν ἐπίσπεισιν τοῦ οἴνου πάντες Αἰγύπτιοι νόμοισι τοῖσι αὐτοῖσι χρέωνται ὁμοίως ἐς πάντα τὰ ἱρά, καὶ ἀπὸ τούτου τοῦ νόμου οὐδὲ ἄλλου οὐδενὸς ἐμψύχου κεφαλῆς γεύσεται Αἰγυπτίων οὐδείς.

Ἡ δὲ δὴ ἐξαίρεσις τῶν ἱρῶν καὶ ἡ καῦσις ἄλλη 40
περὶ ἄλλο ἱρόν σφι κατέστηκε. Τὴν δ' ὦν μεγίστην τε δαίμονα ἥγηνται εἶναι καὶ μεγίστην οἱ ὁρτὴν ἀνάγουσι, ταύτην ἔρχομαι ἐρέων. Ἐπεὰν ἀποδείρωσι τὸν βοῦν, κατευξάμενοι κοιλίην μὲν κείνην πᾶσαν ἐξ ὦν εἷλον, σπλάγχνα δὲ αὐτοῦ λείπουσι ἐν τῷ σώματι καὶ τὴν πιμελήν, σκέλεα δὲ ἀποτάμνουσι καὶ τὴν ὀσφὺν ἄκρην καὶ τοὺς ὤμους τε καὶ τὸν τράχηλον. Ταῦτα δὲ ποιήσαντες τὸ ἄλλο σῶμα τοῦ βοὸς πιμπλᾶσι ἄρτων καθαρῶν καὶ μέλιτος καὶ ἀσταφίδος καὶ σύκων καὶ λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν ἄλλων θυωμάτων, πλήσαντες δὲ τούτων καταγίζουσι, ἔλαιον ἄφθονον καταχέοντες. Προνηστεύσαντες δὲ θύουσι,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καιομένων δὲ τῶν ἱρῶν τύπτονται πάντες· ἐπεὰν δὲ ἀποτύψωνται, δαῖτα προτίθενται, τὰ ἐλίποντο τῶν ἱρῶν.

41 Τοὺς μέν νυν καθαροὺς βοῦς τοὺς ἔρσενας καὶ τοὺς μόσχους οἱ πάντες Αἰγύπτιοι θύουσι, τὰς δὲ θηλέας οὔ σφι ἔξεστι θύειν, ἀλλ' ἱραί εἰσι τῆς Ἴσιος. Τὸ γὰρ τῆς Ἴσιος ἄγαλμα ἐὸν γυναικήιον βούκερών ἐστι, κατά περ Ἕλληνες τὴν Ἰοῦν γράφουσι, καὶ τὰς βοῦς τὰς θηλέας Αἰγύπτιοι πάντες ὁμοίως σέβονται προβάτων πάντων μάλιστα μακρῷ. Τῶν εἵνεκα οὔτ' ἀνὴρ Αἰγύπτιος οὔτε γυνὴ ἄνδρα Ἕλληνα φιλήσειε ἄν τῷ στόματι, οὐδὲ μαχαίρῃ ἀνδρὸς Ἕλληνος χρήσεται οὐδ' ὀβελοῖσι οὐδὲ λέβητι, οὐδὲ κρέως καθαροῦ βοὸς διατετμημένου Ἑλληνικῇ μαχαίρῃ γεύσεται.

Θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας βοῦς τρόπον τόνδε· τὰς μὲν θηλέας ἐς τὸν ποταμὸν ἀπιεῖσι, τοὺς δὲ ἔρσενας κατορύσσουσι ἕκαστοι ἐν τοῖσι προαστείοισι, τὸ κέρας τὸ ἕτερον ἢ καὶ ἀμφότερα ὑπερέχοντα σημηίου εἵνεκεν· ἐπεὰν δὲ σαπῇ καὶ προσίῃ ὁ τεταγμένος χρόνος, ἀπικνέεται ἐς ἑκάστην πόλιν βᾶρις ἐκ τῆς Προσωπίτιδος καλεομένης νήσου. Ἡ δ' ἔστι μὲν ἐν τῷ Δέλτα, περίμετρον δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα. Ἐν ταύτῃ ὦν τῇ Προσωπίτιδι νήσῳ ἔνεισι μὲν καὶ ἄλλαι πόλιες συχναί, ἐκ τῆς δὲ αἱ βάριες παραγίνονται ἀναιρησόμεναι τὰ ὀστέα τῶν βοῶν, οὔνομα τῇ πόλι Ἀτάρβηχις, ἐν δ' αὐτῇ Ἀφροδίτης ἱρὸν ἅγιον ἵδρυται. Ἐκ ταύτης τῆς πόλιος πλανῶνται πολλοὶ ἄλλοι ἐς ἄλλας πόλις, ἀνορύξαντες δὲ τὰ ὀστέα ἀπάγουσι καὶ θάπτουσι ἐς ἕνα χῶρον πάντες. Κατὰ ταὐτὰ δὲ τοῖσι βουσὶ καὶ τἆλλα κτήνεα θάπτουσι ἀποθνήσκοντα. Καὶ γὰρ περὶ ταῦτα οὕτω σφι νενομοθέτηται· κτείνουσι γὰρ δὴ οὐδὲ ταῦτα.

42 Ὅσοι μὲν δὴ Διὸς Θηβαιέος ἵδρυνται ἱρὸν ἢ νομοῦ τοῦ Θηβαίου εἰσί, οὗτοι μέν νυν πάντες οἴων ἀπεχόμενοι αἶγας θύουσι. Θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται, πλὴν Ἴσιός τε καὶ Ὀσίριος, τὸν δὴ Διόνυσον εἶναι λέγουσι· τούτους δὲ ὁμοίως ἅπαντες σέβονται.

Ὅσοι δὲ τοῦ Μένδητος ἔκτηνται ἱρὸν ἢ νομοῦ τοῦ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μενδησίου εἰσί, οὗτοι δὲ αἰγῶν ἀπεχόμενοι ὄϊς θύουσι. Θηβαῖοι μέν νυν καὶ ὅσοι διὰ τούτους ὀΐων ἀπέχονται, διὰ τάδε λέγουσι τὸν νόμον τόνδε σφίσι τεθῆναι· Ἡρακλέα θελῆσαι πάντως ἰδέσθαι τὸν Δία καὶ τὸν οὐκ ἐθέλειν ὀφθῆναι ὑπ' αὐτοῦ· τέλος δέ, ἐπείτε λιπαρέειν τὸν Ἡρακλέα, τὸν Δία μηχανήσασθαι τοιόνδε· κριὸν ἐκδείραντα προσχέσθαι τε τὴν κεφαλὴν ἀποταμόντα τοῦ κριοῦ καὶ ἐνδύντα τὸ νάκος οὕτω οἱ ἑωυτὸν ἐπιδέξαι. Ἀπὸ τούτου κριοπρόσωπον τοῦ Διὸς τὤγαλμα ποιεῦσι Αἰγύπτιοι, ἀπὸ δὲ Αἰγυπτίων Ἀμμώνιοι, ἐόντες Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι καὶ φωνὴν μεταξὺ ἀμφοτέρων νομίζοντες. Δοκέειν δέ μοι, καὶ τὸ οὔνομα Ἀμμώνιοι ἀπὸ τοῦδε σφίσι τὴν ἐπωνυμίην ἐποιήσαντο· Ἀμοῦν γὰρ Αἰγύπτιοι καλέουσι τὸν Δία. Τοὺς δὲ κριοὺς οὐ θύουσι Θηβαῖοι, ἀλλ' εἰσί σφι ἱροὶ διὰ τοῦτο. Μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ, ἐν ὁρτῇ τοῦ Διός, κριὸν ἕνα κατακόψαντες καὶ ἀποδείραντες κατὰ τὠυτὸ ἐνδύουσι τὤγαλμα τοῦ Διὸς καὶ ἔπειτα ἄλλο ἄγαλμα Ἡρακλέος προσάγουσι πρὸς αὐτό. Ταῦτα δὲ ποιήσαντες τύπτονται οἱ περὶ τὸ ἱρὸν ἅπαντες τὸν κριὸν καὶ ἔπειτα ἐν ἱρῇ θήκῃ θάπτουσι αὐτόν.

Τὰς δὲ δὴ αἶγας καὶ τοὺς τράγους τῶνδε εἵνεκα οὐ 46
θύουσι Αἰγυπτίων οἱ εἰρημένοι. Τὸν Πᾶνα τῶν ὀκτὼ θεῶν λογίζονται εἶναι οἱ Μενδήσιοι, τοὺς δὲ ὀκτὼ θεοὺς τούτους προτέρους τῶν δυώδεκα θεῶν φασι γενέσθαι. Γράφουσί τε δὴ καὶ γλύφουσι οἱ ζωγράφοι καὶ οἱ ἀγαλματοποιοὶ τοῦ Πανὸς τὤγαλμα κατά περ Ἕλληνες αἰγοπρόσωπον καὶ τραγοσκελέα, οὔτι τοιοῦτον νομίζοντες εἶναί μιν, ἀλλ' ὅμοιον τοῖσι ἄλλοισι θεοῖσι.

Σέβονται δὲ πάντας τοὺς αἶγας οἱ Μενδήσιοι, καὶ μᾶλλον τοὺς ἔρσενας τῶν θηλέων, καὶ τούτων οἱ κόλοι τιμὰς μέζονας ἔχουσι· ἐκ δὲ τούτων εἷς μάλιστα, ὅστις ἐπεὰν ἀποθάνῃ, πένθος μέγα παντὶ τῷ Μενδησίῳ νομῷ τίθεται. Καλέεται δὲ ὅ τε τράγος καὶ ὁ Πὰν Αἰγυπτιστὶ Μένδης.

Ὗν δὲ Αἰγύπτιοι μιαρὸν ἥγηνται θηρίον εἶναι· καὶ 47
τοῦτο μέν, ἤν τις ψαύσῃ αὐτῶν παριὼν ὑός, αὐτοῖσι τοῖσι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἱματίοισι ἀπ' ὧν ἔβαψε ἑωυτὸν βὰς ἐς τὸν ποταμόν, τοῦτο δὲ οἱ συβῶται ἐόντες Αἰγύπτιοι ἐγγενέες ἐς ἱρὸν οὐδὲν τῶν ἐν Αἰγύπτῳ ἐσέρχονται μοῦνοι πάντων, οὐδέ σφι ἐκδίδοσθαι οὐδεὶς θυγατέρα ἐθέλει οὐδ' ἄγεσθαι ἐξ αὐτῶν, ἀλλ' ἐκδίδονταί τε οἱ συβῶται καὶ ἄγονται ἐξ ἀλλήλων.

Τοῖσι μέν νυν ἄλλοισι θεοῖσι θύειν ὗς οὐ δικαιεῦσι Αἰγύπτιοι, Σελήνῃ δὲ καὶ Διονύσῳ μούνοισι τοῦ αὐτοῦ χρόνου, τῇ αὐτῇ πανσελήνῳ, τοὺς ὗς θύσαντες πατέονται τῶν κρεῶν.

Θυσίη δὲ ἥδε τῶν ὑῶν τῇ Σελήνῃ ποιέεται· ἐπεὰν θύσῃ, τὴν οὐρὴν ἄκρην καὶ τὸν σπλῆνα καὶ τὸν ἐπίπλοον συνθεὶς ὁμοῦ κατ' ὧν ἐκάλυψε πάσῃ τοῦ κτήνεος τῇ πιμελῇ τῇ περὶ τὴν νηδὺν γινομένῃ καὶ ἔπειτα καταγίζει πυρί· τὰ δὲ ἄλλα κρέα σιτέονται ἐν τῇ πανσελήνῳ, ἐν τῇ ἂν τὰ ἱρὰ θύσωσι, ἐν ἄλλῃ δὲ ἡμέρῃ οὐκ ἂν ἔτι γευσαίατο. Οἱ δὲ πένητες αὐτῶν ὑπ' ἀσθενείης βίου σταιτίνας πλάσαντες ὗς καὶ ὀπτήσαντες ταύτας θύουσι.

48 Τῷ δὲ Διονύσῳ τῆς ὁρτῆς τῇ δορπίῃ χοῖρον πρὸ τῶν θυρέων σφάξας ἕκαστος διδοῖ ἀποφέρεσθαι τὸν χοῖρον αὐτῷ τῷ ἀποδομένῳ τῶν συβωτέων. Τὴν δὲ ἄλλην ἀνάγουσι ὁρτὴν τῷ Διονύσῳ Αἰγύπτιοι πλὴν χορῶν κατὰ ταὐτὰ σχεδὸν πάντα Ἕλλησι.

58 Πανηγύριας δὲ ἄρα καὶ πομπὰς καὶ προσαγωγὰς πρῶτοι ἀνθρώπων Αἰγύπτιοί εἰσι οἱ ποιησάμενοι, καὶ παρὰ τούτων Ἕλληνες μεμαθήκασι. Τεκμήριον δέ μοι τούτου τόδε· αἱ μὲν γὰρ φαίνονται ἐκ πολλοῦ τευ χρόνου ποιεύμεναι, αἱ δὲ Ἑλληνικαὶ νεωστὶ ἐποιήθησαν.

59 Πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ, πανηγύριας δὲ συχνάς, μάλιστα μὲν καὶ προθυμότατα ἐς Βούβαστιν πόλιν τῇ Ἀρτέμιδι, δεύτερα ἐς Βούσιριν πόλιν τῇ Ἴσι· ἐν ταύτῃ γὰρ δὴ τῇ πόλι ἐστὶ μέγιστον Ἴσιος ἱρόν, ἵδρυται δὲ ἡ πόλις αὕτη τῆς Αἰγύπτου ἐν μέσῳ τῷ Δέλτα, Ἶσις δέ ἐστι κατὰ τὴν Ἑλλήνων γλῶσσαν Δημήτηρ. Τρίτα δ' ἐς Σάϊν πόλιν τῇ Ἀθηναίῃ πανηγυρίζουσι, τέταρτα δὲ ἐς Ἡλίου πόλιν τῷ Ἡλίῳ, πέμπτα δὲ ἐς Βουτοῦν πόλιν τῇ Λητοῖ, ἕκτα δὲ ἐς Πάπρημιν πόλιν τῷ Ἄρεϊ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐς μὲν νυν Βούβαστιν πόλιν ἐπεὰν κομίζωνται, ποιεῦσι τοιάδε· πλέουσί τε γὰρ δὴ ἅμα ἄνδρες γυναιξὶ καὶ πολλόν τι πλῆθος ἑκατέρων ἐν ἑκάστῃ βάρι· αἱ μέν τινες τῶν γυναικῶν κρόταλα ἔχουσαι κροταλίζουσι, οἱ δὲ αὐλέουσι κατὰ πάντα τὸν πλόον, αἱ δὲ λοιπαὶ γυναῖκες καὶ ἄνδρες ἀείδουσι καὶ τὰς χεῖρας κροτέουσι. Ἐπεὰν δὲ πλέοντες κατά τινα πόλιν ἄλλην γένωνται, ἐγχρίμψαντες τὴν βᾶριν τῇ γῇ ποιεῦσι τοιάδε· αἱ μέν τινες τῶν γυναικῶν ποιεῦσι τά περ εἴρηκα, αἱ δὲ τωθάζουσι βοῶσαι τὰς ἐν τῇ πόλι ταύτῃ γυναῖκας, αἱ δὲ ὀρχέονται. Ταῦτα παρὰ πᾶσαν πόλιν παραποταμίην ποιεῦσι. Ἐπεὰν δὲ ἀπίκωνται ἐς τὴν Βούβαστιν, ὁρτάζουσι μεγάλας ἀνάγοντες θυσίας, καὶ οἶνος ἀμπέλινος ἀναισιμοῦται πλέων ἐν τῇ ὁρτῇ ταύτῃ ἢ ἐν τῷ ἅπαντι ἐνιαυτῷ τῷ ἐπιλοίπῳ. Συμφοιτέουσι δέ, ὅ τι ἀνὴρ καὶ γυνή ἐστι πλὴν παιδίων, καὶ ἐς ἑβδομήκοντα μυριάδας, ὡς οἱ ἐπιχώριοι λέγουσι. Ταῦτα μὲν δὴ ταύτῃ ποιέεται. 60

Ἐν δὲ Βουσίρι πόλι ὡς ἀνάγουσι τῇ Ἴσι τὴν ὁρτήν, εἴρηται πρότερόν μοι. Τύπτονται μὲν γὰρ δὴ μετὰ τὴν θυσίην πάντες καὶ πᾶσαι, μυριάδες κάρτα πολλαὶ ἀνθρώπων. Τὸν δὲ τύπτονται, οὔ μοι ὅσιόν ἐστι λέγειν. Ὅσοι δὲ Καρῶν εἰσὶ ἐν Αἰγύπτῳ οἰκέοντες, οὗτοι δὲ τοσούτῳ ἔτι πλέω ποιεῦσι τούτων, ὅσῳ καὶ τὰ μέτωπα κόπτονται μαχαίρῃσι, καὶ τούτῳ εἰσὶ δῆλοι ὅτι εἰσὶ ξεῖνοι καὶ οὐκ Αἰγύπτιοι. 61

Ἐς Σάϊν δὲ πόλιν ἐπεὰν συλλεχθέωσι τῇσι θυσίῃσι, ἔν τινι νυκτὶ λύχνα καίουσι πάντες πολλὰ ὑπαίθρια περὶ τὰ δώματα κύκλῳ. Τὰ δὲ λύχνα ἐστὶ ἐμβάφια ἔμπλεα ἁλὸς καὶ ἐλαίου, ἐπιπολῆς δὲ ἔπεστι αὐτὸ τὸ ἐλλύχνιον, καὶ τοῦτο καίεται παννύχιον, καὶ τῇ ὁρτῇ οὔνομα κέεται λυχνοκαΐη. Οἳ δ' ἂν μὴ ἔλθωσι τῶν Αἰγυπτίων ἐς τὴν πανήγυριν ταύτην, φυλάσσοντες τὴν νύκτα τῆς θυσίης καίουσι καὶ αὐτοὶ πάντες τὰ λύχνα, καὶ οὕτω οὐκ ἐν Σάϊ μούνῃ καίεται, ἀλλὰ καὶ ἀνὰ πᾶσαν Αἴγυπτον. Ὅτευ δὲ εἵνεκα φῶς ἔλαχε καὶ τιμὴν ἡ νὺξ αὕτη, ἔστι ἱρὸς περὶ αὐτοῦ λόγος λεγόμενος. 62



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

63 Ἐς δὲ Ἡλίου τε πόλιν καὶ Βουτοῦν θυσίας μούνας ἐπιτελέουσι φοιτέοντες. Ἐν δὲ Παπρήμι θυσίας μὲν καὶ ἱρὰ κατάπερ καὶ τῇ ἄλλῃ ποιεῦσι· εὖτ' ἂν δὲ γίνηται καταφερὴς ὁ ἥλιος, ὀλίγοι μέν τινες τῶν ἱρέων περὶ τὤγαλμα πεπονέαται, οἱ δὲ πολλοὶ αὐτῶν ξύλων κορύνας ἔχοντες ἑστᾶσι τοῦ ἱροῦ ἐν τῇ ἐσόδῳ· ἄλλοι δὲ εὐχωλὰς ἐπιτελέοντες, πλεῦνες χιλίων ἀνδρῶν, ἕκαστοι ἔχοντες ξύλα καὶ οὗτοι ἐπὶ τὰ ἕτερα ἀλέες ἑστᾶσι. Τὸ δὲ ἄγαλμα ἐὸν ἐν νηῷ μικρῷ ξυλίνῳ κατακεχρυσωμένῳ προεκκομίζουσι τῇ προτεραίῃ ἐς ἄλλο οἴκημα ἱρόν. Οἱ μὲν δὴ ὀλίγοι οἱ περὶ τὤγαλμα λελειμμένοι ἕλκουσι τετράκυκλον ἅμαξαν ἄγουσαν τὸν νηόν τε καὶ τὸ ἐν τῷ νηῷ ἐνεὸν ἄγαλμα, οἱ δὲ οὐκ ἐῶσι ἐν τοῖσι προπυλαίοισι ἑστεῶτες ἐσιέναι, οἱ δὲ εὐχωλιμαῖοι τιμωρέοντες τῷ θεῷ παίουσι αὐτοὺς ἀλεξομένους. Ἐνθαῦτα μάχη ξύλοισι καρτερὴ γίνεται, κεφαλάς τε συναράσσονται καί, ὡς ἐγὼ δοκέω, πολλοὶ καὶ ἀποθνήσκουσι ἐκ τῶν τρωμάτων· οὐ μέντοι οἵ γε Αἰγύπτιοι ἔφασαν ἀποθνήσκειν οὐδένα.

69 Τοῖσι μὲν δὴ τῶν Αἰγυπτίων ἱροί εἰσι οἱ κροκόδειλοι, τοῖσι δὲ οὔ, ἀλλ' ἅτε πολεμίους περιέπουσι. Οἱ δὲ περί τε Θήβας καὶ τὴν Μοίριος λίμνην οἰκέοντες καὶ κάρτα ἥγηνται αὐτοὺς εἶναι ἱρούς. Ἐκ πάντων δὲ ἕνα ἑκάτεροι τρέφουσι κροκόδειλον, δεδιδαγμένον εἶναι χειροήθεα, ἀρτήματά τε λίθινα χυτὰ καὶ χρύσεα ἐς τὰ ὦτα ἐσθέντες καὶ ἀμφιδέας περὶ τοὺς ἐμπροσθίους πόδας καὶ σιτία ἀποτακτὰ διδόντες καὶ ἱρήια καὶ περιέποντες ὡς κάλλιστα ζῶντας· ἀποθανόντας δὲ θάπτουσι ταριχεύσαντες ἐν ἱρῇσι θήκῃσι.

77 Αὐτῶν δὲ δὴ Αἰγυπτίων οἳ μὲν περὶ τὴν σπειρομένην Αἴγυπτον οἰκέουσι, μνήμην ἀνθρώπων πάντων ἐπασκέοντες μάλιστα λογιώτατοί εἰσι μακρῷ, τῶν ἐγὼ ἐς διάπειραν ἀπικόμην. Τρόπῳ δὲ ζόης τοιῷδε διαχρέωνται· συρμαΐζουσι τρεῖς ἡμέρας ἐπεξῆς μηνὸς ἑκάστου, ἐμέτοισι θηρώμενοι τὴν ὑγιείην καὶ κλύσμασι, νομίζοντες ἀπὸ τῶν τρεφόντων σιτίων πάσας τὰς νούσους τοῖσι ἀνθρώποισι γίνεσθαι. Εἰσὶ μὲν γὰρ καὶ ἄλλως Αἰγύπτιοι μετὰ Λίβυας ὑγιη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρέστατοι πάντων ἀνθρώπων τῶν ὠρέων δοκέειν ἐμοὶ εἵνεκεν, ὅτι οὐ μεταλλάσσουσι αἱ ὧραι· ἐν γὰρ τῇσι μεταβολῇσι τοῖσι ἀνθρώποισι αἱ νοῦσοι μάλιστα γίνονται, τῶν τε ἄλλων πάντων καὶ δὴ καὶ τῶν ὠρέων μάλιστα.

Ἀρτοφαγέουσι δὲ ἐκ τῶν ὀλυρέων ποιεῦντες ἄρτους, τοὺς ἐκεῖνοι κυλλήστις ὀνομάζουσι. Οἴνῳ δὲ ἐκ κριθέων πεποιημένῳ διαχρέωνται· οὐ γὰρ σφί εἰσι ἐν τῇ χώρῃ ἄμπελοι. Ἰχθύων δὲ τοὺς μὲν πρὸς ἥλιον αὐήναντες ὠμοὺς σιτέονται, τοὺς δὲ ἐξ ἅλμης τεταριχευμένους. Ὀρνίθων δὲ τούς τε ὄρτυγας καὶ τὰς νήσσας καὶ τὰ σμικρὰ τῶν ὀρνιθίων ὠμὰ σιτέονται προταριχεύσαντες· τὰ δὲ ἄλλα ὅσα ἢ ὀρνίθων ἢ ἰχθύων σφί ἐστι ἐχόμενα, χωρὶς ἢ ὁκόσοι σφι ἱροὶ ἀποδεδέχαται, τοὺς λοιποὺς ὀπτοὺς καὶ ἑφθοὺς σιτέονται.

Ἐν δὲ τῇσι συνουσίῃσι τοῖσι εὐδαίμοσι αὐτῶν, ἐπεὰν 78
ἀπὸ δείπνου γένωνται, περιφέρει ἀνὴρ νεκρὸν ἐν σορῷ ξύλινον πεποιημένον, μεμιμημένον ἐς τὰ μάλιστα καὶ γραφῇ καὶ ἔργῳ, μέγαθος ὅσον τε πάντῃ πηχυιαῖον ἢ δίπηχυν, δεικνὺς δὲ ἑκάστῳ τῶν συμποτέων λέγει· «Ἐς τοῦτον ὁρέων πῖνέ τε καὶ τέρπευ· ἔσεαι γὰρ ἀποθανὼν τοιοῦτος». Ταῦτα μὲν παρὰ τὰ συμπόσια ποιεῦσι.

Πατρίοισι δὲ χρεώμενοι νόμοισι ἄλλον οὐδένα ἐπι- 79
κτῶνται. Τοῖσι ἄλλα τε ἐπάξιά ἐστι νόμιμα καὶ δὴ καὶ ἄεισμα ἕν ἔστι, Λίνος, ὅσπερ ἔν τε Φοινίκῃ ἀοίδιμός ἐστι καὶ ἐν Κύπρῳ καὶ ἄλλῃ, κατὰ μέντοι ἔθνεα οὔνομα ἔχει· συμφέρεται δὲ ὡυτὸς εἶναι, τὸν οἱ Ἕλληνες Λίνον ὀνομάζοντες ἀείδουσι, ὥστε πολλὰ μὲν καὶ ἄλλα ἀποθωμάζειν με τῶν περὶ Αἴγυπτον ἐόντων, ἐν δὲ δὴ καὶ τὸν Λίνον ὁκόθεν ἔλαβον· φαίνονται δὲ αἰεί κοτε τοῦτον ἀείδοντες· ἔστι δὲ Αἰγυπτιστὶ ὁ Λίνος καλεύμενος Μανέρως. Ἔφασαν δέ μιν Αἰγύπτιοι τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου παῖδα μουνογενέα γενέσθαι, ἀποθανόντα δ' αὐτὸν ἄνωρον θρήνοισι τούτοισι ὑπ' Αἰγυπτίων τιμηθῆναι, καὶ ἀοιδήν τε ταύτην πρώτην καὶ μούνην σφίσι γενέσθαι.

Συμφέρονται δὲ καὶ τόδε ἄλλο Αἰγύπτιοι Ἑλλήνων 80
μούνοισι Λακεδαιμονίοισι· οἱ νεώτεροι αὐτῶν τοῖσι πρε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σβυτέροισι συντυγχάνοντες εἴκουσι τῆς ὁδοῦ καὶ ἐκτράπονται καὶ ἐπιοῦσι ἐξ ἕδρης ὑπανιστέαται. Τόδε μέντοι ἄλλο Ἑλλήνων οὐδαμοῖσι συμφέρονται· ἀντὶ τοῦ προσαγορεύειν ἀλλήλους ἐν τῇσι ὁδοῖσι προσκυνέουσι κατιέντες μέχρι τοῦ γούνατος τὴν χεῖρα.

81 Ἐνδεδύκασι δὲ κιθῶνας λινέους περὶ τὰ σκέλεα θυσανωτούς, τοὺς καλέουσι καλασίρις· ἐπὶ τούτοισι δὲ εἰρίνεα εἵματα λευκὰ ἐπαναβληδὸν φορέουσι. Οὐ μέντοι ἔς γε τὰ ἱρὰ ἐσφέρεται εἰρίνεα, οὐδὲ συγκαταθάπτεταί σφι· οὐ γὰρ ὅσιον. Ὁμολογέουσι δὲ ταῦτα τοῖσι Ὀρφικοῖσι καλεομένοισι καὶ Βακχικοῖσι, ἐοῦσι δὲ Αἰγυπτίοισι καὶ Πυθαγορείοισι. Οὐδὲ γὰρ τούτων τῶν ὀργίων μετέχοντα ὅσιόν ἐστι ἐν εἰρινέοισι εἵμασι θαφθῆναι. Ἔστι δὲ περὶ αὐτῶν ἱρός λόγος λεγόμενος.

82 Καὶ τάδε ἄλλα Αἰγυπτίοισί ἐστι ἐξευρημένα, μείς τε καὶ ἡμέρη ἑκάστη θεῶν ὅτευ ἐστί, καὶ τῇ ἕκαστος ἡμέρῃ γενόμενος ὁτέοισι ἐγκυρήσει καὶ ὅκως τελευτήσει καὶ ὁκοῖός τις ἔσται· καὶ τούτοισι τῶν Ἑλλήνων οἱ ἐν ποιήσι γενόμενοι ἐχρήσαντο. Τέρατά τε πλέω σφι ἀνεύρηται ἢ τοῖσι ἄλλοισι ἅπασι ἀνθρώποισι. Γενομένου γὰρ τέρατος φυλάσσουσι γραφόμενοι τὠποβαῖνον, καὶ ἤν κοτε ὕστερον παραπλήσιον τούτῳ γένηται, κατὰ τὠυτὸ νομίζουσι ἀποβήσεσθαι.

83 Μαντικὴ δὲ αὐτοῖσι ὧδε διακέεται. Ἀνθρώπων μὲν οὐδενὶ προσκέεται ἡ τέχνη, τῶν δὲ θεῶν μετεξετέροισι. Καὶ γὰρ Ἡρακλέος μαντήιον αὐτόθι ἔστι καὶ Ἀπόλλωνος καὶ Ἀθηναίης καὶ Ἀρτέμιδος καὶ Ἄρεος καὶ Διός, καὶ τό γε μάλιστα ἐν τιμῇ ἄγονται πάντων τῶν μαντηίων, Λητοῦς ἐν Βουτοῖ πόλι ἐστί. Οὐ μέντοι αἵ γε μαντηίαι σφι κατὰ τὠυτὸ ἑστᾶσι, ἀλλὰ διάφοροί εἰσι.

84 Ἡ δὲ ἰητρικὴ κατὰ τάδε σφι δέδασται· μιῆς νούσου ἕκαστος ἰητρός ἐστι καὶ οὐ πλεόνων. Πάντα δ' ἰητρῶν ἐστι πλέα· οἱ μὲν γὰρ ὀφθαλμῶν ἰητροὶ κατεστᾶσι, οἱ δὲ κεφαλῆς, οἱ δὲ ὀδόντων, οἱ δὲ τῶν κατὰ νηδύν, οἱ δὲ τῶν ἀφανέων νούσων.

85 Θρῆνοι δὲ καὶ ταφαί σφεων εἰσὶ αἵδε· τοῖσι ἂν ἀπο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γένηται ἐκ τῶν οἰκηίων ἄνθρωπος, τοῦ τις καὶ λόγος ᾖ, τὸ θῆλυ γένος πᾶν τὸ ἐκ τῶν οἰκίων τούτων κατ' ὧν ἐπλάσατο τὴν κεφαλὴν πηλῷ ἢ καὶ τὸ πρόσωπον, κἄπειτα ἐν τοῖσι οἰκίοισι λιποῦσαι τὸν νεκρὸν αὐταὶ ἀνὰ τὴν πόλιν στρωφώμεναι τύπτονται ἐπεζωμέναι καὶ φαίνουσαι τοὺς μαζούς, σὺν δέ σφι αἱ προσήκουσαι πᾶσαι. Ἑτέρωθεν δὲ οἱ ἄνδρες τύπτονται, ἐπεζωμένοι καὶ οὗτοι. Ἐπεὰν δὲ ταῦτα ποιήσωσι, οὕτω ἐς τὴν ταρίχευσιν κομίζουσιν.

Ταῦτα μὲν πάντα οἱ κατύπερθε τῶν ἑλέων οἰκέοντες 92
Αἰγύπτιοι νομίζουσι. Οἱ δὲ δὴ ἐν τοῖσι ἕλεσι κατοικημένοι τοῖσι μὲν αὐτοῖσι νόμοισι χρέωνται, τοῖσι καὶ οἱ ἄλλοι Αἰγύπτιοι, καὶ τὰ ἄλλα καὶ γυναικὶ μιῇ ἕκαστος αὐτῶν συνοικέει, κατάπερ Ἕλληνες, ἀτὰρ πρὸς εὐτελείην τῶν σιτίων τάδε σφι ἄλλα ἐξεύρηται· ἐπεὰν πλήρης γένηται ὁ ποταμὸς καὶ τὰ πεδία πελαγίσῃ, φύεται ἐν τῷ ὕδατι κρίνεα πολλά, τὰ Αἰγύπτιοι καλέουσι λωτόν. Ταῦτα ἐπεὰν δρέψωσι, αὐαίνουσι πρὸς ἥλιον, καὶ ἔπειτα τὸ ἐκ τοῦ μέσου τοῦ λωτοῦ, τῇ μήκωνι ἐὸν ἐμφερές, πτίσαντες ποιεῦνται ἐξ αὐτοῦ ἄρτους ὀπτοὺς πυρί. Ἔστι δὲ καὶ ἡ ῥίζα τοῦ λωτοῦ τούτου ἐδωδίμη καὶ ἐγγλύσσει ἐπιεικέως, ἐὸν στρογγύλον, μέγαθος κατὰ μῆλον. Ἔστι δὲ καὶ ἄλλα κρίνεα ῥόδοισι ἐμφερέα, ἐν τῷ ποταμῷ γινόμενα καὶ ταῦτα, ἐκ τῶν ὁ καρπὸς ἐν ἄλλῃ κάλυκι παραφυομένῃ ἐκ τῆς ῥίζης γίνεται, κηρίῳ σφηκῶν ἰδέην ὁμοιότατον. Ἐν τούτῳ τρωκτά, ὅσον τε πυρὴν ἐλαίης, ἐγγίνεται συχνά, τρώγεται δὲ καὶ ἁπαλὰ ταῦτα καὶ αὖα.

Τὴν δὲ βύβλον τὴν ἐπέτειον γινομένην ἐπεὰν ἀνασπάσωσι ἐκ τῶν ἑλέων, τὰ μὲν ἄνω αὐτῆς ἀποτάμνοντες ἐς ἄλλο τι τράπουσι, τὸ δὲ κάτω λελειμμένον ὅσον τε ἐπὶ πῆχυν τρώγουσι καὶ πωλέουσι. Οἳ δὲ ἂν καὶ κάρτα βούλωνται χρηστῇ τῇ βύβλῳ χρᾶσθαι, ἐν κλιβάνῳ διαφανέϊ πνίξαντες οὕτω τρώγουσι. Οἱ δέ τινες αὐτῶν ζῶσι ἀπὸ τῶν ἰχθύων μούνων, τοὺς ἐπεὰν λάβωσι καὶ ἐξέλωσι τὴν κοιλίην, αὐαίνουσι πρὸς ἥλιον καὶ ἔπειτα αὔους ἐόντας σιτέονται.

Ἀλείφατι δὲ χρέωνται Αἰγυπτίων οἱ περὶ τὰ ἕλεα 94

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἰκέοντες ἀπὸ τῶν σιλλικυπρίων τοῦ καρποῦ, τὸ καλεῦσι μὲν Αἰγύπτιοι κίκι, ποιεῦσι δὲ ὧδε· παρὰ τὰ χείλεα τῶν τε ποταμῶν καὶ τῶν λιμνέων σπείρουσι τὰ σιλλικύπρια ταῦτα, τὰ ἐν Ἕλλησι αὐτόματα φύεται· ταῦτα ἐν τῇ Αἰγύπτῳ σπειρόμενα καρπὸν φέρει πολλὸν μέν, δυσώδεα δέ· τοῦτον ἐπεὰν συλλέξωνται, οἱ μὲν κόψαντες ἀπιποῦσι, οἱ δὲ καὶ φρύξαντες ἀπέψουσι καὶ τὸ ἀπορρέον ἀπ᾽ αὐτοῦ συγκομίζονται. Ἔστι δὲ πῖον καὶ οὐδὲν ἧσσον τοῦ ἐλαίου τῷ λύχνῳ προσηνές, ὀδμὴν δὲ βαρέαν παρέχεται.

Πρὸς δὲ τοὺς κώνωπας ἀφθόνους ἐόντας τάδε σφί ἐστι μεμηχανημένα. Τοὺς μὲν τὰ ἄνω τῶν ἑλέων οἰκέοντας οἱ πύργοι ὠφελέουσι, ἐς τοὺς ἀναβαίνοντες κοιμῶνται· οἱ γὰρ κώνωπες ὑπὸ τῶν ἀνέμων οὐκ οἷοί τέ εἰσι ὑψοῦ πέτεσθαι. Τοῖσι δὲ περὶ τὰ ἕλεα οἰκέουσι τάδε ἀντὶ τῶν πύργων ἄλλα μεμηχάνηται· πᾶς ἀνὴρ αὐτῶν ἀμφίβληστρον ἔκτηται, τῷ τῆς μὲν ἡμέρης ἰχθῦς ἀγρεύει, τὴν δὲ νύκτα τάδε αὐτῷ χρᾶται· ἐν τῇ ἀναπαύεται κοίτῃ, περὶ ταύτην ἵστησι τὸ ἀμφίβληστρον καὶ ἔπειτα ἐσδὺς ὑπ᾽ αὐτὸ κατεύδει. Οἱ δὲ κώνωπες, ἢν μὲν ἐν ἱματίῳ ἐνειλιξάμενος εὕδῃ ἢ σινδόνι, διὰ τούτων δάκνουσι· διὰ δὲ τοῦ δικτύου οὐδὲ πειρῶνται ἀρχήν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΙΣΤΟΡΙΩΝ ΕΚΤΗ
## ΕΠΙΓΡΑΦΟΜΕΝΗ ΕΡΑΤΩ

### ΔΕΥΤΕΡΑ ΕΚΣΤΡΑΤΕΙΑ ΤΩΝ ΠΕΡΣΩΝ ΚΑΤΑ ΤΗΣ ΕΛΛΑΔΟΣ

### Η ΕΝ ΜΑΡΑΘΩΝΙ ΜΑΧΗ

Ἀθηναίοισι μὲν δὴ πόλεμος συνῆπτο πρὸς Αἰγινήτας· 94
ὁ δὲ Πέρσης τὸ ἑωυτοῦ ἐποίεε, ὥστε ἀναμιμνήσκοντός τε
αἰεὶ τοῦ θεράποντος μεμνῆσθαί μιν τῶν Ἀθηναίων καὶ
Πεισιστρατιδέων προσκατημένων καὶ διαβαλλόντων Ἀθη-
ναίους, ἅμα δὲ βουλόμενος ὁ Δαρεῖος ταύτης ἐχόμενος
τῆς προφάσιος καταστρέφεσθαι τῆς Ἑλλάδος τοὺς μὴ
δόντας αὐτῷ γῆν τε καὶ ὕδωρ. Μαρδόνιον μὲν δὴ φλαύρως
πρήξαντα τῷ στόλῳ παραλύει τῆς στρατηγίης, ἄλλους δὲ
στρατηγοὺς ἀποδέξας ἀπέστειλε ἐπί τε Ἐρέτριαν καὶ
Ἀθήνας, Δᾶτίν τε ἐόντα Μῆδον γένος καὶ Ἀρταφέρνεα
τὸν Ἀρταφέρνεος παῖδα, ἀδελφιδέον ἑωυτοῦ· ἐντειλάμε-
νος δὲ ἀπέπεμπε ἐξανδραποδίσαντας Ἀθήνας καὶ Ἐρέ-
τριαν ἀγαγεῖν ἑωυτῷ ἐς ὄψιν τὰ ἀνδράποδα. Δᾶτις μὲν
δὴ ἔπλωε ἅμα στρατῷ ἐπὶ τὴν Ἐρέτριαν πρῶτα, ἅμα ἀγό-
μενος καὶ Ἴωνας καὶ Αἰολέας.

Ἐρετριέες δὲ πυνθανόμενοι τὴν στρατιὴν τὴν Περσι- 100
κὴν ἐπὶ σφέας ἐπιπλώουσαν Ἀθηναίων ἐδεήθησαν σφίσι
βοηθοὺς γενέσθαι. Ἀθηναῖοι δὲ οὐκ ἀπείπαντο τὴν ἐπι-
κουρίην, ἀλλὰ τοὺς τετρακισχιλίους κληρουχέοντας τῶν
ἱπποβοτέων Χαλκιδέων τὴν χώρην, τούτους σφι διδοῦσι
τιμωρούς. Τῶν δὲ Ἐρετριέων ἦν ἄρα οὐδὲν ὑγιὲς βού-
λευμα, οἳ μετεπέμποντο μὲν Ἀθηναίους, ἐφρόνεον δὲ διφα-
σίας ἰδέας. Οἱ μὲν γὰρ αὐτῶν ἐβουλεύοντο ἐκλιπεῖν τὴν
πόλιν ἐς τὰ ἄκρα τῆς Εὐβοίης, ἄλλοι δὲ αὐτῶν ἴδια κέρδεα
προσδεκόμενοι παρὰ τοῦ Πέρσεω οἴσεσθαι προδοσίην

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐσκευάζοντο. Μαθὼν δέ τούτων ἑκάτερα ὡς εἶχε Αἰσχίνης
ὁ Νόθωνος, ἐὼν τῶν Ἐρετριέων τὰ πρῶτα, φράζει τοῖσι
ἥκουσι τῶν Ἀθηναίων πάντα τὰ παρεόντα σφι πρήγματα,
προσεδέετό τε ἀπαλλάσσεσθαί σφεας ἐς τὴν σφετέρην, ἵνα
μὴ προσαπόλωνται. Οἱ δὲ Ἀθηναῖοι ταῦτα Αἰσχίνῃ συμ-
βουλεύσαντι πείθονται.
101 Καὶ οὗτοι μὲν διαβάντες ἐς Ὠρωπὸν ἔσωζον σφέας
αὐτούς· οἱ δὲ Πέρσαι πλώοντες κατέσχον τὰς νέας τῆς
Ἐρετρικῆς χώρης κατὰ Ταμύνας καὶ Χοιρέας καὶ Αἰγί-
λια, κατασχόντες δὲ ἐς ταῦτα τὰ χωρία αὐτίκα ἵππους
τε ἐξεβάλλοντο καὶ παρεσκευάζοντο ὡς προσοισόμενοι
τοῖσι ἐχθροῖσι. Οἱ δὲ Ἐρετριέες ἐπεξελθεῖν μὲν καὶ μαχέ-
σασθαι οὐκ ἐποιεῦντο βουλήν, εἴ κως δὲ διαφυλάξαιεν τὰ
τείχεα, τούτου σφι πέρι ἔμελε, ἐπείτε ἐνίκα μὴ ἐκλιπεῖν
τὴν πόλιν. Προσβολῆς δὲ γινομένης καρτερῆς πρὸς τὸ
τεῖχος ἔπιπτον ἐπὶ ἓξ ἡμέρας πολλοὶ μὲν ἀμφοτέρων, τῇ
δὲ ἑβδόμῃ Εὔφορβός τε ὁ Ἀλκιμάχου καὶ Φίλαγρος ὁ
Κυνέω, ἄνδρες τῶν ἀστῶν δόκιμοι, προδιδοῦσι τοῖσι Πέρ-
σῃσι. Οἱ δὲ ἐσελθόντες ἐς τὴν πόλιν τοῦτο μὲν τὰ ἱρὰ
συλήσαντες ἐνέπρησαν, ἀποτινύμενοι τῶν ἐν Σάρδισι
κατακαυθέντων ἱρῶν, τοῦτο δὲ τοὺς ἀνθρώπους ἠνδραπο-
δίσαντο κατὰ τὰς Δαρείου ἐντολάς.
102 Χειρωσάμενοι δὲ τὴν Ἐρέτριαν καὶ ἐπισχόντες ὀλίγας
ἡμέρας ἔπλωον ἐς τὴν Ἀττικὴν δοκέοντες ταὐτὰ τοὺς
Ἀθηναίους ποιήσειν, τὰ καὶ τοὺς Ἐρετριέας ἐποίησαν.
Καὶ ἦν γὰρ ὁ Μαραθὼν ἐπιτηδεότατον χωρίον τῆς Ἀττικῆς
ἐνιππεῦσαι καὶ ἀγχοτάτω τῆς Ἐρετρίης, ἐς τοῦτό σφι
103 κατηγέετο Ἱππίης ὁ Πεισιστράτου. Ἀθηναῖοι δέ, ὡς ἐπύ-
θοντο ταῦτα, ἐβώθεον καὶ αὐτοὶ ἐς τὸν Μαραθῶνα. Ἦγον
δέ σφεας στρατηγοὶ δέκα, τῶν ὁ δέκατος ἦν Μιλτιάδης,
τοῦ τὸν πατέρα Κίμωνα τὸν Στησαγόρεω κατέλαβε φυγεῖν
ἐξ Ἀθηνέων Πεισίστρατον τὸν Ἱπποκράτεος. Οὗτος ὁ
Μιλτιάδης ἥκων ἐκ τῆς Χερσονήσου ἐστρατήγεε Ἀθη-
ναίων.
105 Καὶ πρῶτα μὲν ἐόντες ἔτι ἐν τῷ ἄστεϊ οἱ στρατηγοὶ
ἀποπέμπουσιν ἐς Σπάρτην κήρυκα Φειδιππίδην Ἀθηναῖον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν ἄνδρα, ἄλλως δὲ ἡμεροδρόμον τε καὶ τοῦτο μελε-
τέοντα. Οὗτος δευτεραῖος ἐκ τοῦ Ἀθηναίων ἄστεος ἦν ἐν 106
Σπάρτῃ, ἀπικόμενος δὲ ἐπὶ τοὺς ἄρχοντας ἔλεγε· «ὦ Λακεδαιμόνιοι, Ἀθηναῖοι ὑμέων δέονται σφίσι βωθῆσαι καὶ μὴ περιιδεῖν πόλιν ἀρχαιοτάτην ἐν τοῖσι Ἕλλησι δουλοσύνῃ περιπεσοῦσαν πρὸς ἀνδρῶν βαρβάρων. Καὶ γὰρ νῦν Ἐρέτριά τε ἠνδραπόδισται καὶ πόλι λογίμῳ ἡ Ἑλλὰς γέγονε ἀσθενεστέρη». Ὁ μὲν δή σφι τὰ ἐντεταλμένα ἀπήγγελλε, τοῖσι δὲ ἔαδε μὲν βωθέειν Ἀθηναίοισι, ἀδύνατα δέ σφι ἦν τὸ παραυτίκα ποιέειν ταῦτα οὐ βουλομένοισι λύειν τὸν νόμον· ἦν γὰρ ἱσταμένου τοῦ μηνὸς εἰνάτῃ, εἰνάτῃ δὲ οὐκ ἐξελεύσεσθαι ἔφασαν μὴ οὐ πλήρεος ἐόντος τοῦ κύκλου. Οὗτοι μέν νυν τὴν πανσέληνον ἔμενον.

Ἀθηναίοισι δὲ τεταγμένοισι ἐν τεμένεϊ Ἡρακλέος 108
ἐπῆλθον βωθέοντες Πλαταιέες πανδημεί· καὶ γὰρ καὶ ἐδεδώκεσαν σφέας αὐτοὺς τοῖσι Ἀθηναίοισι οἱ Πλαταιέες, καὶ πόνους ὑπὲρ αὐτῶν οἱ Ἀθηναῖοι συχνοὺς ἤδη ἀναραιρέατο.

Τοῖσι δὲ Ἀθηναίων στρατηγοῖσι ἐγίνοντο δίχα αἱ 109
γνῶμαι, τῶν μὲν οὐκ ἐώντων συμβαλεῖν, ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων συμβαλεῖν, τῶν δὲ καὶ Μιλτιάδεω κελευόντων. Ὡς δὲ δίχα τε ἐγίνοντο καὶ ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα, ἦν γὰρ ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν Ἀθηναίων πολεμαρχέειν, τὸ παλαιὸν γὰρ Ἀθηναῖοι ὁμόψηφον τὸν πολέμαρχον ἐποιεῦντο τοῖσι στρατηγοῖσι, ἦν δὲ τότε πολέμαρχος Καλλίμαχος Ἀφιδναῖος, πρὸς τοῦτον ἐλθὼν Μιλτιάδης ἔλεγε τάδε.

«Ἐν σοὶ νῦν, Καλλίμαχε, ἐστὶ ἢ καταδουλῶσαι Ἀθήνας ἢ ἐλευθέρας ποιήσαντα μνημόσυνα λιπέσθαι ἐς τὸν ἅπαντα ἀνθρώπων βίον, οἷα οὐδὲ Ἁρμόδιός τε καὶ Ἀριστογείτων λείπουσι. Νῦν γὰρ δή, ἐξ οὗ ἐγένοντο Ἀθηναῖοι, ἐς κίνδυνον ἥκουσι μέγιστον. Καὶ ἢν μέν γε ὑποκύψωσι τοῖσι Μήδοισι, δέδοκται τὰ πείσονται παραδεδομένοι Ἱππίῃ, ἢν δὲ περιγένηται αὕτη ἡ πόλις, οἵη τέ ἐστι πρώτη τῶν Ἑλληνίδων πολίων γενέσθαι. Κῶς ὦν δὴ ταῦ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τα οἷά τέ ἐστι γενέσθαι, καὶ κῶς ἐς σέ τι τούτων ἀνήκει τῶν πρηγμάτων τὸ κῦρος ἔχειν, νῦν ἔρχομαι φράσων. Ἡμέων τῶν στρατηγῶν ἐόντων δέκα δίχα γίνονται αἱ γνῶμαι, τῶν μὲν κελευόντων συμβαλεῖν, τῶν δὲ οὔ. Ἢν μέν νυν μὴ συμβάλωμεν, ἔλπομαί τινα στάσιν μεγάλην ἐμπεσοῦσαν διασείσειν τὰ Ἀθηναίων φρονήματα, ὥστε μηδίσαι· ἢν δὲ συμβάλωμεν, πρίν τι καὶ σαθρὸν Ἀθηναίων μετεξετέροισι ἐγγενέσθαι, θεῶν τὰ ἴσα νεμόντων οἷοί τέ εἰμεν περιγενέσθαι τῇ συμβολῇ. Ταῦτα ὦν πάντα ἐς σὲ νῦν τείνει καὶ ἐκ σέο ἤρτηται· ἢν γὰρ σὺ γνώμῃ τῇ ἐμῇ προσθῇ, ἔστι τοι πατρίς τε ἐλευθέρη καὶ πόλις πρώτη τῶν ἐν τῇ Ἑλλάδι· ἢν δὲ τῶν ἀποσπευδόντων τὴν συμβολὴν ἕλῃ, ὑπάρξει τοι, τῶν ἐγὼ κατέλεξα ἀγαθῶν, τὰ ἐναντία».

110 Ταῦτα λέγων ὁ Μιλτιάδης προσκτᾶται τὸν Καλλίμαχον. Προσγενομένης δὲ τοῦ πολεμάρχου τῆς γνώμης ἐκεκύρωτο συμβάλλειν. Μετὰ δὲ οἱ στρατηγοί, τῶν ἡ γνώμη ἔφερε συμβάλλειν, ὡς ἑκάστου αὐτῶν ἐγίνετο πρυτανηίη τῆς ἡμέρης, Μιλτιάδῃ παρεδίδοσαν· ὁ δὲ δεκόμενος οὔτι κω συμβολὴν ἐποιέετο, πρίν γε δὴ αὐτοῦ πρυτανηίη ἐγένετο.

111 Ὡς δὲ ἐς ἐκεῖνον περιῆλθε, ἐνθαῦτα δὴ ἐτάσσοντο ὧδε οἱ Ἀθηναῖοι ὡς συμβαλέοντες. Τοῦ μὲν δεξιοῦ κέρεος ἡγέετο ὁ πολέμαρχος Καλλίμαχος. Ὁ γὰρ νόμος τότε εἶχε οὕτω τοῖσι Ἀθηναίοισι, τὸν πολέμαρχον ἔχειν κέρας τὸ δεξιόν. Ἡγεομένου δὲ τούτου ἐξεδέκοντο, ὡς ἠριθμέοντο, αἱ φυλαὶ ἐχόμεναι ἀλλήλων· τελευταῖοι δὲ ἐτάσσοντο ἔχοντες τὸ εὐώνυμον κέρας Πλαταιέες. Ἀπὸ ταύτης γάρ σφι τῆς μάχης, θυσίας Ἀθηναίων ἀναγόντων καὶ πανηγύριας τὰς ἐν τῇσι πεντετηρίσι γινομένας, κατεύχεται ὁ κῆρυξ ὁ Ἀθηναῖος ἅμα τε Ἀθηναίοισι λέγων γίνεσθαι τὰ ἀγαθὰ καὶ Πλαταιεῦσι. Τότε δὲ τασσομένων τῶν Ἀθηναίων ἐν τῷ Μαραθῶνι ἐγίνετο τοιόνδε τι· τὸ στρατόπεδον ἐξισούμενον τῷ Μηδικῷ στρατοπέδῳ, τὸ μὲν αὐτοῦ μέσον ἐγίνετο ἐπὶ τάξις ὀλίγας, καὶ ταύτῃ ἦν ἀσθενέστατον τὸ στρατόπεδον, τὸ δὲ κέρας ἑκάτερον ἔρρωτο πλήθεϊ.

112 Ὡς δέ σφι διετέτακτο καὶ τὰ σφάγια ἐγίνετο καλά,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐνθαῦτα, ὡς ἀπείθησαν οἱ Ἀθηναῖοι, δρόμῳ ἵεντο ἐς τοὺς βαρβάρους. Ἦσαν δὲ στάδιοι οὐκ ἐλάσσονες τὸ μεταίχμιον αὐτῶν ἢ ὀκτώ. Οἱ δὲ Πέρσαι ὁρέοντες δρόμῳ ἐπιόντας παρεσκευάζοντο ὡς δεξόμενοι, μανίην τε τοῖσι Ἀθηναίοισι ἐπέφερον καὶ πάγχυ ὀλεθρίην, ὁρέοντες αὐτοὺς ὀλίγους, καὶ τούτους δρόμῳ ἐπειγομένους οὔτε ἵππου ὑπαρχούσης σφι οὔτε τοξευμάτων. Ταῦτα μέν νυν οἱ βάρβαροι κατείκαζον· Ἀθηναῖοι δέ, ἐπείτε ἀθρόοι προσέμιξαν τοῖσι βαρβάροισι, ἐμάχοντο ἀξίως λόγου. Πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων, τῶν ἡμεῖς ἴδμεν, δρόμῳ ἐς πολεμίους ἐχρήσαντο, πρῶτοι δὲ ἀνέσχοντο ἐσθῆτά τε Μηδικὴν ὁρέοντες καὶ ἄνδρας τοὺς ταύτην ἐσθημένους· τέως δὲ ἦν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα τὸ Μήδων φόβος ἀκοῦσαι.

Μαχομένων δὲ ἐν τῷ Μαραθῶνι χρόνος ἐγίνετο πολ- 113
λός. Καὶ τὸ μὲν μέσον τοῦ στρατοπέδου ἐνίκων οἱ βάρβαροι, τῇ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι ἐτετάχατο· κατὰ τοῦτο μὲν δὴ ἐνίκεον οἱ βάρβαροι καὶ ῥήξαντες ἐδίωκον ἐς τὴν μεσόγαιαν, τὸ δὲ κέρας ἑκάτερον ἐνίκεον Ἀθηναῖοί τε καὶ Πλαταιέες. Νικέοντες δὲ τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν ἔων, τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτῶν συναγαγόντες τὰ κέρεα ἀμφότερα ἐμάχοντο καὶ ἐνίκεον Ἀθηναῖοι. Φεύγουσι δὲ τοῖσι Πέρσῃσι εἵποντο κόπτοντες, ἐς ὃ ἐπὶ τὴν θάλασσαν ἀπικόμενοι πῦρ τε αἴτεον καὶ ἐπελαμβάνοντο τῶν νεῶν.

Καὶ τοῦτο μὲν ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλί- 114
μαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός, ἀπὸ δ' ἔθανε τῶν στρατηγῶν Στησίλεως ὁ Θρασύλεω, τοῦτο δὲ Κυνέγειρος ὁ Εὐφορίωνος ἐνθαῦτα ἐπιλαβόμενος τῶν ἀφλάστων νεὸς τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ πίπτει, τοῦτο δὲ ἄλλοι Ἀθηναίων πολλοί τε καὶ οὐνομαστοί.

Ἑπτὰ μὲν δὴ τῶν νεῶν ἐπεκράτησαν τρόπῳ τοιούτῳ 115
Ἀθηναῖοι· τῇσι δὲ λοιπῇσι οἱ βάρβαροι ἐξανακρουσάμενοι καὶ ἀναλαβόντες ἐκ τῆς νήσου, ἐν τῇ ἔλιπον, τὰ ἐξ Ἐρετρίης ἀνδράποδα, περιέπλωον Σούνιον, βουλόμενοι φθῆναι τοὺς Ἀθηναίους ἀπικόμενοι ἐς τὸ ἄστυ.

Οὗτοι μὲν δὴ περιέπλωον Σούνιον· Ἀθηναῖοι δέ, ὡς 116

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποδῶν εἶχον τάχιστα, ἐβώθεον ἐς τὸ ἄστυ καὶ ἔφθησάν τε ἀπικόμενοι, πρὶν ἢ τοὺς βαρβάρους ἥκειν, καὶ ἐστρατοπεδεύσαντο ἀπιγμένοι ἐξ Ἡρακλείου τοῦ ἐν Μαραθῶνι ἐν ἄλλῳ Ἡρακλείῳ τῷ ἐν Κυνοσάργεϊ. Οἱ δὲ βάρβαροι τῇσι νηυσὶ ὑπεραιωρηθέντες Φαλήρου, τοῦτο γὰρ ἦν ἐπίνειον τότε τῶν Ἀθηναίων, ὑπὲρ τούτου ἀνακωχεύσαντες τὰς νέας ἀπέπλωον ὀπίσω ἐς τὴν Ἀσίην.

117 Ἐν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας, Ἀθηναίων δὲ ἑκατὸν ἐνενήκοντα καὶ δύο.

119 Τοὺς δὲ τῶν Ἐρετριέων ἠνδραποδισμένους Δᾶτίς τε καὶ Ἀρταφέρνης, ὡς προσέσχον ἐς τὴν Ἀσίην πλώοντες, ἀνήγαγον ἐς Σοῦσα. Βασιλεὺς δὲ Δαρεῖος, πρὶν μὲν αἰχμαλώτους γενέσθαι τοὺς Ἐρετριέας, ἐνεῖχέ σφι δεινὸν χόλον οἷα ἀρξάντων ἀδικίης προτέρων τῶν Ἐρετριέων· ἐπείτε δὲ εἶδέ σφεας ἀπαχθέντας παρ' ἑωυτὸν καὶ ὑποχειρίους ἑωυτῷ ἐόντας, ἐποίησε κακὸν ἄλλο οὐδέν, ἀλλά σφεας τῆς Κισσίης χώρης κατοίκισε ἐν σταθμῷ ἑωυτοῦ, τῷ οὔνομά ἐστι Ἀρδέρικκα, ἀπὸ Σούσων δέκα καὶ διηκοσίους σταδίους ἀπέχοντι. Ἔνθαῦτα τοὺς Ἐρετριέας κατοίκισε βασιλεὺς Δαρεῖος, οἳ καὶ μέχρι ἐμέο εἶχον τὴν χώρην ταύτην φυλάσσοντες τὴν ἀρχαίην γλῶσσαν.

120 Λακεδαιμονίων δὲ ἦκον ἐς τὰς Ἀθήνας δισχίλιοι μετὰ τὴν πανσέληνον, ἔχοντες σπουδὴν πολλὴν καταλαβεῖν οὕτω, ὥστε τριταῖοι ἐκ Σπάρτης ἐγένοντο ἐν τῇ Ἀττικῇ. Ὕστεροι δὲ ἀπικόμενοι τῆς συμβολῆς ἱμείροντο ὅμως θεήσασθαι τοὺς Μήδους· ἐλθόντες δὲ ἐς τὸν Μαραθῶνα ἐθεήσαντο. Μετὰ δὲ αἰνέοντες Ἀθηναίους καὶ τὸ ἔργον αὐτῶν ἀπαλάσσοντο ὀπίσω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΙΣΤΟΡΙΩΝ ΠΡΩΤΗ
## ΕΠΙΓΡΑΦΟΜΕΝΗ ΚΛΕΙΩ

---

### Α. ΗΘΗ ΚΑΙ ΕΘΙΜΑ ΤΩΝ ΠΕΡΣΩΝ

### Κεφ. 131

***νόμοισι***=ἀττ. ***νόμοις***.—***τοιοισίδε***=ἀττ. ***τοιοῖσδε***.—***νόμοις χρῶμαι***=ἔχω νόμους, ἔθιμα.—***νηὸς***=ἀττ. ***ναὸς*** ἤ ***νεώς***.—***ποιευμένους***=ἀττ. ***ποιουμένους***· ἡ μετοχὴ ἐξαρτᾶται ἐκ τοῦ ***οἶδα***.—***ἐν νόμῳ ποιοῦμαι***=συνηθίζω.—***τοῖσι***=ἀττ. ***τοῖς***.—***ποιεῦσι***=ἀττ. ***ποιοῦσι***.—***ἐπιφέρουσι***· ἀντὶ ***ἐπιφέρονται*** κατ' ἀναλογίαν πρὸς τὸ ***ποιευμένους***.—***μωρίην***=ἀττ. ***μωρίαν***.—***μωρίαν ἐπιφέρω τινί***=θεωρῶ τινα μωρόν.—***μὲν***=***μὴν***=τοὐλάχιστον.—***δοκέειν***=ἀττ. ***δοκεῖν***· τὸ ἀπαρέμφατον ἐνταῦθα κεῖται ἀπολύτως.—***ὡς μὲν ἐμοὶ δοκέειν***=***ὡς μὲν ἐμοὶ δοκεῖ***.—***ἀνθρωποφυέας***=ἀττ. ***ἀνθρωποφυεῖς***.—***ἀνθρωποφυὴς***=ὁ ἔχων ἀνθρωπίνην φύσιν, ἀνθρωπόμορφος.—***κατάπερ***=ἀττ. ***καθάπερ***.—***οἱ δέ***· δηλ. οἱ Πέρσαι.—***νομίζω***=συνηθίζω.—***Δί***· καὶ παρὰ Πέρσαις ἐλατρεύετο ὁ Ζεὺς ὡς ὁ ὕψιστος τῶν θεῶν, ἦτο δὲ προσωποποίησις τοῦ φωτὸς καὶ ἐθεωρεῖτο δημιουργὸς τοῦ κόσμου.—***ἔρδω***=ἀττ. ***ποιῶ***.—***θυσίας ἔρδω***=θυσιάζω.—***καλέοντες***=ἀττ. ***καλοῦντες***.—***ἀνέμοισι***=ἀττ. ***ἀνέμοις***.—***ἡλίῳ τε καὶ σελήνῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι***· οἱ Πέρσαι ἦσαν ὀπαδοὶ τῆς θρησκείας τῆς καλουμένης ζωροαστρικῆς, εἶχον δὲ τὴν ἀντίληψιν ὅτι ὁ ἥλιος, ἡ σελήνη, ἡ γῆ, τὸ πῦρ, τὸ ὕδωρ κλπ. εἶχον ταχθῆ εἰς τὴν ὑπηρεσίαν τοῦ ἀγαθοῦ πνεύματος, τὸ ὁποῖον ἀντεπροσώπευεν ὁ Ὡρομάσδης.—***τούτοισι***=ἀττ. ***τούτοις***.—***μούνοισι***=ἀττ. ***μόνοις*** (ὀνομ. ***μοῦνος***=μόνος).—***ἀρχῆθεν***=ἐξ ἀρχῆς, παλαιόθεν.—***ἐπιμανθάνω***=μαν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θάνω κατόπιν.—***Οὐρανίη***=ἀττ. ***Οὐρανίᾳ***.—***Οὐρανία***· ἐπώνυμον τῆς Ἀφροδίτης.—***Ἀράβιοι***=Ἄραβες.

## Κεφ. 132

***θυσίη***=ἀττ. ***θυσία***.—***τοῖσι πέρσῃσι***=ἀττ. ***τοῖς πέρσαις***.—***ἤδε***=***ὧδε***=ὡς ἑξῆς.—***κατέστηκε***=ἀττ. ***καθέστηκε*** (τοῦ ***κατίσταμαι***=***καθίσταμαι***)=ἔχει ἐπικρατήσει, ἔχει καθιερωθῇ.—***ποιεῦνται***=ἀττ. ***ποιοῦνται***.—***ἀνακαίω***=ἀνάπτω.—***σπονδή***· οἱ ἀρχαῖοι Ἕλληνες, πρὶν πίωσιν, ἔχυνον σταγόνας τινὰς ἐκ τοῦ οἴνου πρὸς τιμὴν τῶν θεῶν· τοῦτο ἐκαλεῖτο σπονδή.—***χρέωνται***=ἀττ. ***χρῶνται***.—***οὐκὶ***=ἀττ. ***οὐχί***.—***αὐλός***· πνευστὸν μουσικὸν ὄργανον τῶν ἀρχαίων· οἱ Ἕλληνες μετεχειρίζοντο αὐλητὰς ἢ αὐλητρίδας εἰς τὰς ἑστιάσεις, τοὺς χορούς, τὰς θρησκευτικὰς τελετὰς καὶ τὰς θυσίας, διὰ νὰ δώσουν εἰς αὐτὰς μεγαλυτέραν ἐπισημότητα καὶ τόνον πανηγυρικόν.—***στέμμα***· πλεκτὸν ἀπὸ φύλλα, ἄνθη, καρποὺς καὶ ποικιλοχρώμους ταινίας· ταῦτα ἀνήρτων οἱ θυσιάζοντες εἰς τὴν θύραν τοῦ ναοῦ, ἢ ἐστεφανώνοντο οἱ ἴδιοι καὶ ἐστεφάνωνον καὶ τὰ θύματα.—***οὐλῇσι***=ἀττ. ***ὀλαῖς***.—***ὀλαί***· κριθαὶ ἡμιαλεσμέναι καὶ ἀναμεμιγμέναι μὲ ἅλας, αἱ ὁποῖαι ἐχύνοντο εἰς τὴν κεφαλὴν τοῦ θύματος πρὶν σφαγῇ.—***τῶν δὲ ὡς ἑκάστῳ θύειν θέλῃ***=***ὡς δὲ ἐθέλῃ (τις) θύειν ἑκάστῳ τούτων***.—***ὡς***=ὅταν.—***ἑκάστῳ τούτων***· δηλαδὴ τῶν θεῶν, τοὺς ὁποίους ἀνέφερεν ἀνωτέρω.—***τὸ κτῆνος***=τὸ πρὸς θυσίαν ζῷον, τὸ θῦμα.—***καλέει***=ἀττ. ***καλεῖ***.—***καλῶ τινα***=ἐπικαλοῦμαί τινα.—***τὸν τιάρην***=ἀττ. ***τὸν τιάραν*** (ἢ ***τὴν τιάραν***).—***τιάρα***· κάλυμμα τῆς κεφαλῆς τῶν Περσῶν.—***ἐστεφανωμένος τὸν τιάρην***=ἔχων ἐστεμμένην τὴν τιάραν αὐτοῦ.—***μάλιστα***=πρὸ πάντων, σχεδὸν πάντοτε.—***ἑωυτῷ***=ἀττ. ***ἑαυτῷ***· ἡ δοτικὴ ἐξαρτᾶται ἐκ τοῦ ***ἀρᾶσθαι***.—***ἰδίῃ***=ἀττ. ***ἰδίᾳ***=ἰδιαιτέρως.—***μούνῳ***=ἀττ. ***μόνῳ***.—***οἱ***=***αὐτῷ***.—***ἐγγίνεται***=ἀττ. ***ἐγγίγνεται***=***ἔξεστιν***.—***ἀρᾶσθαι***=ἀττ. ***εὔχεσθαι***.—***ὁ δὲ***=ἀλλά.—***τοῖσι πέρσῃσι***=ἀττ. ***τοῖς πέρσαις***.—***εὖ γίνομαι***=εὐτυχῶ.—***βασιλέϊ***=ἀττ. ***βασιλεῖ***.—***ἐν τοῖσι ἅπασι πέρσῃσι***=μεταξὺ ὅλων τῶν ἄλλων Περσῶν.—***καὶ αὐτὸς γίνεται***=καὶ ὁ ἴδιος (δηλ. ὁ θυσιάζων) συγκαταλέγεται.—***ἐπεὰν***=ἀττ. ***ἐπάν***.—***δια-***

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**μιστύλλω**=κατακόπτω εἰς τεμάχια.—**μέρεα**=ἀττ. **μέρη**.—**ἱρήιον**=ἀττ. **ἱερεῖον**=σφάγιον, θῦμα.—**ἑψήσῃ**· τοῦ ῥ. **ἕψω**=βράζω.—**ὑποπάσσω**=στρώνω ὑποκάτω.—**ποίη**=ἀττ. **πόα**=χόρτον.—**ὡς**=ὅσον τὸ δυνατόν.—**ἁπαλὸς**=τρυφερός.—**τρίφυλλον**=τριφύλλι.—**ἔθηκε**· γνωμικὸς ἀόριστος=**τίθησι**.—**ὢν**=ἀττ. **οὖν**· ἐνταῦθα=τότε, ἀμέσως.—**διαθέντος δὲ αὐτοῦ**· ἐνν. **ταῦτα**.—**διατίθημί τι**=τακτοποιῶ τι.—**μάγος**=ἱερεύς· οἱ ἱερεῖς τῶν Περσῶν ἐκαλοῦντο μάγοι.—**παρεστεὼς**=ἀττ. **παρεστώς**.—**ἐπαείδει**=ἀττ. **ἐπᾴδει**.—**ἐπᾴδω**=ψάλλω.—**θεογονίη**=ἀττ. **θεογονία**· αὕτη παρ' Ἕλλησι μὲν ἦτο ᾆσμα, τὸ ὁποῖον ἀνεφέρετο εἰς τὴν γένεσιν τῶν θεῶν, παρὰ δὲ τοῖς πέρσαις προσευχὴ ἀπευθυνομένη πρὸς ὅλους τοὺς θεούς.—**οἵην**=ἀττ. **οἵαν**.—**ἐπαοιδὴ**=ἀττ. **ἐπῳδὴ**=μαγικὸν ᾆσμα.—**σφι**=ἀττ. **σφίσιν**=;—**νόμος**=ἔθιμον, συνήθεια.—**ποιέεσθαι**=ἀττ. **ποιεῖσθαι**.—**ἐπισχών**· τοῦ ῥ. **ἐπέχω**=περιμένω.—**ἀποφέρομαί τι**=παίρνω κάτι μαζί μου καὶ φεύγω —**χρᾶται**=ἀττ. **χρῆται**.—**μιν**=ἀττ. **αὐτόν**.—**λόγος**=ὀρθὸς λόγος, λογική.—**αἱρέει**=ἀττ. **αἱρεῖ**.—**ὅ τι μιν λόγος αἱρέει**=εἰς ὅ τι τοῦ ὑποδεικνύει ἡ λογική, εἰς ὅ τι εἶναι λογικὸν (φυσικόν).

## Κεφ. 133

**ἡμέρην**=ἀττ. **ἡμέραν**.—**ἁπασέων**=ἀττ. **ἁπασῶν**—**νομίζω**=;(πρβλ. κεφ. 131).—**τῇ**=ἀττ. **ᾗ**=κατὰ τὴν ὁποίαν.—**γίγνομαι**=γεννῶμαι. — πλέω =ἀττ. **πλείω**. — **δαίς—τὸς**=εὐωχία, συμπόσιον.—**τῶν ἄλλων**· δηλ. ἡμερῶν.—**δικαιεῦσι**=ἀττ. **δικαιοῦσι**.—**δικαιόω—ῶ**=θεωρῶ δίκαιον.—**προτίθεμαι**=παραθέτω.—**ἐν τῇ**=ἀττ. **ἐν ᾗ**· ἐνν. **δαιτί**.—**εὐδαίμων**=πλούσιος.—**προτιθέαται**=ἀττ. **προτίθενται**.—**ὅλος**=ὁλόκληρος.—**ὀπτὸς**=ψητός.—**καμίνοισι**=ἀττ. **καμίνοις**.—**πρόβατον**· πᾶν τετράποδον ζῷον.—**τὰ λεπτὰ τῶν προβάτων**=μικρὰ ζῷα· δηλ. πρόβατα καὶ αἶγες, γιδοπρόβατα.—**σίτοισι**=ἀττ. **σίτοις**.—**σῖτα** (πληθυντικὸς τοῦ **σῖτος**)=τροφαί, φαγητά.—**ὀλίγοισι**=ἀττ. **ὀλίγοις**.—**χρέωνται**=ἀττ. **χρῶνται**.—**ἐπιφορήματα**=πρόσθετα ἐδέσματα, τραγήματα μετὰ τὸ δεῖπνον· ταῦτα ἦσαν διάφοροι ξηροὶ καρποί.—**πολλοῖσι**=ἀττ. ;—**ἁλὴς—ἐς**=ἀττ. **ἀθρόος**=



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰς ἓν ὅλον ἠθροισμένος, ὅλος μαζί.—***σιτεομένους***=ἀττ. ***σιτουμένους***=ὅταν τρώγουν.—***πεινῶν παύομαι***=παύω νὰ πεινῶ, χορταίνω.—***δτι***· σιτιολογικόν.—***ἀπὸ δείπνου***=μετὰ τὸ δεῖπνον.—***παραφορέεται***=ἀττ. ***παραφέρεται.***—***παραφέρω***=παραθέτω.—***οὐδὲν λόγου ἄξιον***· ἐνν. ***ἐπιφόρημα.***—***κάρτα***=ἀττ. ***λίαν.***—***προσκέαται***=ἀττ. ***πρόσκεινται.***—***οἴνῳ πρόσκειμαι***= εἶμαι ἔκδοτος εἰς τὸν οἶνον.—***ἐμέω***=ἀττ. ***ἐμῶ***=ξερνῶ.—***οὐκὶ***=ἀττ. ***οὐχί.***—***ἀντίον***=ἀττ. ***ἐναντίον.***—***ἀντίον ἄλλου***=ἐνώπιον ἄλλου.—***νυν***=ἀττ. ***τοίνυν.***—***φυλάσσεταί τι***=τηρεῖταί τι. —***ἐώθασι***=ἀττικ. ***εἰώθασι***=συνηθίζουσι.—***σπουδαιέστατα***= ἀττ. ***σπουδαιότατα.***—***πρήγματα***=ἀττ. ***πράγματα.***—***τὸ***=ἀττ. ***ὅ.***—***ἅδῃ***· γ΄. ἑνικὸν ὑποτακτ. ἀορ. (***ἕαδον***) τοῦ ῥ. ***ἁνδάνω***= ἀρέσκω.—***τὸ δ' ἂν ἅδῃ***=ἀττ. ***ὅ δ' ἂν δόξῃ.***—***σφι βουλευομένοισι***=ἀττ.;—***ὑστεραίῃ***=ἀττ. ;—***νήφουσι***· μετοχὴ τοῦ ῥ. ***νήφω***=εἶμαι νηφάλιος, ξεμέθυστος.—***προτιθεῖ***=ἀττ. ***προτίθησιν.***—***προτίθημί τινί τι***=ὑποβάλλω τι εἰς τὴν κρίσιν τινός.—***στέγαρχος***=οἰκοδεσπότης.—***ἐν τοῦ***=***ἐν τῷ οἴκῳ οὗ.***—***ἐόντες***=ἀττ. ***ὄντες.***—***χρέωνται***=ἀττ. ;—***χρῶμαί τινι***=ἐκτελῶ τι.—***μετιεῖσι***=ἀττ. ***μεθιᾶσι***· ἐνν. ***τοῦτο.***—***μεθίημί τι***=ἀπορρίπτω τι.—***τὰ***=ἀττ. ***ἅ.***—***ἐπιδιαγιγνώσκω***=ἐκ νέου σκέπτομαι καὶ ἀποφασίζω, ἀναθεωρῶ.

## Κεφ. 134

***ἐντυγχάνω τινί***=συναντῶ τινα.—***τῇσι***=ἀττ. ***ταῖς.***—***τῷδε***=ἐκ τοῦ ἑξῆς.—***διαγιγνώσκω***=διακρίνω.—***ὅμοιος***=τοῦ αὐτοῦ βαθμοῦ, τῆς αὐτῆς κοινωνικῆς τάξεως.—***προσαγορεύω τινὰ***= χαιρετίζω τινά.—***φιλέουσι τοῖσι στόμασι***=ἀττ. ***φιλοῦσι τοῖς στόμασι.***—***φιλῶ τῷ στόματι***=φιλῶ εἰς τὸ στόμα.—***οὕτερος***= ὁ ἕτερος.—***ὑποδεέστερος***=κατώτερος, κατωτέρας κοινωνικῆς τάξεως.—***ὀλίγῳ***=ὀλίγον.—***πολλῷ***=πολύ.—***ἀγεννὴς***=ὁ ταπεινῆς καταγωγῆς.—***ἄγχιστα***· ὑπερθ. τοῦ ἐπιρ. ***ἄγχι***=ἐγγύς.—***ἑωυτῶν***=ἀττ. ;—***κατὰ λόγον***=ἀναλόγως τῆς ἀποστάσεως.—***ἑκαστάτω***· ὑπερθ. τοῦ ἐπιρ. ***ἑκὰς***=ἀττ. ***πόρρω.***—***οἰκημένους***· μετοχὴ παρακ.=ἀττ. ***ᾠκημένους***=κατοικοῦντας.—***ἐν τιμῇ ἄγομαί τινα***=ἀττ. ***ἐν τιμῇ ἔχω τινά.***—***μακρῷ***=πολύ.—***τοὺς***

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

***δὲ ἄλλους... ἀντέχεσθαι***· ἡ σειρὰ τῶν λέξεων : ***τοὺς δὲ ἄλλους ἀντέχεσθαι τῆς ἀρετῆς κατὰ λόγον τὸν λεγόμενον***.— ***ἀντέχεσθαι***· ἐκ τοῦ ***νομίζοντες***.—***ἀντέχομαι τῆς ἀρετῆς***= μετέχω τῆς ἀρετῆς.—***κατὰ λόγον τὸν λεγόμενον***=κατὰ τὴν ἀναφερομένην ἀνωτέρω ἀναλογίαν (κατ' ἀναλογίαν δηλ. τῆς ἀποστάσεως).—***ἐπὶ δὲ Μήδων... τιμῶσι***· ἡ σύνταξις κατὰ παράταξιν ἀντὶ καθ' ὑπόταξιν· ἄς ἑρμηνευθῇ ὡς νὰ ἦτο : ***ὡς δὲ ἐπὶ Μήδων ἀρχόντων... κατὰ τὸν αὐτὸν λόγον καὶ οἱ Πέρσαι τιμῶσι***.—***ἐπὶ Μήδων ἀρχόντων***=ἐπὶ τῆς κυριαρχίας τῶν Μήδων· οἱ Πέρσαι ἦσαν παλαιότερον ὑπήκοοι τῶν Μήδων, τὴν ἀρχὴν τῶν ὁποίων κατέλυσεν ὁ Κῦρος ὁ πρεσβύτερος, ὁ ἱδρυτὴς τοῦ Περσικοῦ κράτους.—***ἔθνεα***=ἀττ. ***ἔθνη***· τὰ ἔθνη τὰ ὁποῖα ἀπετέλουν τὸ βασίλειον τοῦτο.—***ἦρχε ἀλλήλων***=ἐκυβέρνων τὸ ἕν τὸ ἄλλο.—***συναπάντων μὲν Μῆδοι***· ἐνν. ***ἦρχον*** (ἐπεξήγησις τοῦ ***ἀλλήλων***).—***οὗτοι δέ***· δηλ. ***οἱ ἄγχιστα οἰκέοντες***, οἱ πλησιόχωροι.—***ὅμουροι***=ἀττ. ***ὅμοροι***.—***οἱ δέ***· δηλ. ***οἱ ὅμουροι***.—***μάλα***=ἀττ. ***αὖ***—***τῶν ἐχομένων***· ἐνν. ***αὐτοῖς***= ***τῶν ἄγχιστα οἰκεόντων***.—***προβαίνει τὸ ἔθνος***=τὸ ἔθνος ἀσκεῖ τὴν ἀρχήν του βαθμηδόν.—***γάρ***· ἐπεξηγηματικός.—***τὸ ἔθνος***· δηλ. τῶν Μήδων.—***ἄρχον***=ἀπ' εὐθείας, ἀμέσως.—***ἐπιτροπεῦον***=διὰ μεσαζόντων, ἐμμέσως.—***προέβαινε γάρ... ἐπιτροπεῦον***· τὸ νόημα : Ὅσον περισσότερον ἀπομεμακρυσμένα ἦσαν τὰ ἔθνη τὰ ἐξαρτώμενα ἀπὸ τοὺς Μήδους, τόσον καὶ ἡ ἀρχὴ τούτων ἐξησκεῖτο ἐμμέσως καὶ ἦτο μία ἁπλῆ ἐποπτεία.

## Κεφ. 135

***ξεινικὸς***=ἀττ. ***ξενικός***.—***νόμαια***=ἀττ. ***νόμιμα***=ἔθιμα, συνήθειαι.—***προσίεμαί τι***=δέχομαί τι.—***ἀνδρῶν μάλιστα***=περισσότερον ὅλων τῶν ἀνθρώπων.—***καὶ γὰρ δὴ***=οὕτω παραδείγματος χάριν.—***ἐσθὴς—ῆτος***=ἀμφίεσις, ἐνδυμασία.—***τὴν Μηδικὴν ἐσθῆτα***· οἱ Μῆδοι ἐνεδύοντο πολυτελῶς φέροντες χιτῶνας πορφυροῦς, ἐπανωφόρια μὲ εὐρείας χειρίδας (μανίκια), τὰ ὁποῖα ὠνόμαζον κάνδυς, ἀναξυρίδας (βράκες) καὶ διάφορα χρυσᾶ κοσμήματα, βραχιόλια, περιδέραια κλπ.—***τῆς ἑωυτῶν εἶναι καλλίω***· οἱ Πέρσαι ἐν ἀντιθέσει πρὸς τοὺς Μήδους ἐνε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δύοντο πολὺ ἁπλῶς.—**φορέω**=φορῶ.—**θώρηκας**=ἀττ. **θώρακας.**—**ἄγομαι γυναῖκα**=νυμφεύομαι.—**κουριδίη γυνὴ**=νόμιμος σύζυγος.

## Κεφ. 136

**ἀνδραγαθίη**=ἀττ. **ἀρετὴ**=ἀνδρεία.—**αὕτη**=**τοῦτο**· ἐπεξηγεῖται διὰ τῆς προτάσεως **ὃς ἂν πολλοὺς ἀποδέξῃ παῖδας.** —**ἀποδέδεκται**=ἀττ. **ἀποδέδεικται**=νομίζεται, θεωρεῖται.— **μετὰ τὸ μάχεσθαι εἶναι ἀγαθὸν**=μετὰ τὴν εἰς τὰς μάχας ἀνδρείαν.—**ἀποδέξῃ**=ἀττ. **ἀποδείξῃ.**—**ἀποδείκνυμι παῖδας** =φέρω εἰς τὴν ζωὴν παῖδας, γεννῶ παῖδας.—**τὸ πολλὸν**=ἀττ. **τὸ πολὺ**=τὸ πλῆθος.—**δὲ**=γάρ.—**ἡγέαται**=ἀττ. **ἥγηνται**· ἐνταῦθα ἀντὶ ἐνεστῶτος=νομίζουν.—**τὸ πολλὸν δὲ ἡγέαται ἰσχυρὸν εἶναι**=διότι νομίζουν ὅτι τὸ πλῆθος ἔχει τὴν δύναμιν· ἐνόμιζον δηλ. οἱ Πέρσαι ὅτι ἡ δύναμις ἔγκειται εἰς τὸν ἀριθμόν, ἐν ἀντιθέσει πρὸς τοὺς Ἕλληνας, οἱ ὁποῖοι ἐνόμιζον ὅτι ἡ ἀνδρεία νικᾷ τὸ πλῆθος.—**παιδεύω**=ἐκπαιδεύω, διδάσκω.—**ἀπὸ πενταέτεος**=ἀττ. **ἀπὸ πενταέτους** (ἢ **πενταετοῦς**)· ἐνν. **παιδός.**—**μοῦνα**=ἀττ. **μόνα.**—**ἀληθίζομαι**=λέγω τὴν ἀλήθειαν.—**πρὶν ἢ**=ἀττ. **πρίν.**—**ἀπικνέεται**=ἀττ. **ἀφικνεῖται.**—**ἀφικνοῦμαι εἰς ὄψιν τινὶ**=ἐμφανίζομαι ἐνώπιόν τινος. —**παρὰ τῇσι(=ταῖς) γυναιξί**· δηλ. εἰς τοὺς θαλάμους τῶν γυναικῶν, εἰς τὴν γυναικωνῖτιν.—**δίαιταν ἔχω**=διαιτῶμαι.—**εἵνεκα**=ἀττ. **ἕνεκα.**—**ποιέεται**=ἀττ. ;—**ἵνα ἥ...προσβάλλῃ**· ἐπεξήγησις τοῦ **τοῦδε.**—**ἄση**=λύπη, θλῖψις.—**προσβάλλω τινί τι**=προξενῶ τι εἴς τινα.

## Κεφ. 137

**αἰνέω**=ἀττ. **ἐπαινῶ.**—**νυν**=ἀττ. ; (πρβλ. κεφ. 133).— **νόμος**=; (πρβλ. κεφ. 132).—**μιῆς αἰτίης εἵνεκα**=ἀττ. **μιᾶς αἰτίας ἕνεκα.**—**τὸν βασιλέα**· ὑποκείμενον τοῦ **φονεύειν.**—**οἰκέτης**=ὑπηρέτης, δοῦλος.—**ἀνήκεστος**=ἀνεπανόρθωτος.—**πάθος**=κακόν.—**ἔρδω**=; (πρβλ. κεφ. 131).—**λογίζομαι**=ὑπο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λογίζω, ἐξετάζω.—***πλέω τε καὶ μέζω***=ἀττ. ***πλείω τε καὶ μείζω.***—***ἐόντα***=ἀττ. ***ὄντα.***—***ὑπούργημα***=ὑπηρεσία.—***οὕτω***= τότε.—***τῷ θυμῷ χρῶμαι***=μεταχειρίζομαι τὸν θυμόν μου, ἀφήνω τον θυμόν μου νὰ ἐκδηλωθῇ ἐμπράκτως.—***κω***=ἀττ. ***πω.***

## Κεφ. 138

***ἄσσα***=ἀττ. ***ἄττα*** (ἢ ***ἅτινα***).—***σφι***=ἀττ. ; —***δεύτερα***=δεύτερον, ἔπειτα.—***μάλιστα δὲ ἀναγκαίην φασὶ εἶναι***=***μάλιστα δὲ διὰ τὸ εἶναι ἀναγκαίην, ὥς φασιν.***—***ἀναγκαίη***=ἀττ. ***ἀνάγκη.***—***ἀστὸς***=πολίτης.—***λεύκη***· νόσος τοῦ δέρματος, ἡ ὁποία καλεῖται οὕτω ἐκ τοῦ χρώματος, τὸ ὁποῖον λαμβάνει τὸ δέρμα· κατ' ἄλλους αὕτη εἶναι ἀρχὴ λέπρας ἢ ἐλεφαντιάσεως.—***συμμίσγομαι***=ἀττ. ***συμμείγνυμι.***—***συμμείγνυμί τινι***=ἔρχομαι εἰς ἐπικοινωνίαν μετά τινος.—***τοῖσι ἄλλοισι Πέρσῃσι***=ἀττ. ; —***μιν***=ἀττ. ; (πρβλ. κεφ. 132).—***ἐς τὸν ἥλιον***· οὗτος ἦτο ἡ ἐξέχουσα θεότης τῶν πυρολατρῶν.—***ἁμαρτόντα***· μετοχὴ αἰτιολογική.—***ξεῖνος***=ἀττ. ***ξένος.***—***λαμβάνομαι ὑπό τινος***=καταλαμβάνομαι ὑπό τινος.—***ὑπὸ τούτων***· δηλ. τῶν νόσων.—***τὴν αὐτὴν αἰτίαν ἐπιφέρω τινὶ***=ἀποδίδω εἴς τινα τὴν αὐτὴν κατηγορίαν.—***ἐπιφέροντες***· ἐνν. ***αὐταῖς.***—***ἐνουρέουσι***=ἀττ. ***ἐνουροῦσι***=οὐροῦσιν ἐντός.—***χεῖρας ἐναπονίζομαι***=πλύνω τὰς χεῖράς μου ἔν τινι.—***περιορῶσι***· ἐνν. ***ταῦτα ποιοῦντα.***—***περιορῶ***=ἀνέχομαι, ἀφήνω.

## Κεφ. 139

***σφι***=ἀττ. ; —***τὸ***=ἀττ. ***ὅ.***—***λέληθε***· παρακ. τοῦ ῥ. ***λανθάνω.***—***ἡμέας***=ἀττ. ***ἡμᾶς.***—***τὰ οὐνόματά σφι ἐόντα***· ἐπεξήγησις.—***μεγαλοπρεπείη***=ἀττ. ***μεγαλοπρέπεια*** = λαμπρότης (σωματικὴ καὶ ἠθική).—***τὠυτὸ***=ἀττ. ***ταὐτό.***—***τὸ***=ἀττ. ***ὅ.***—***Δωριέες***=ἀττ. ***Δωριεῖς.***—***δίζημαι***=ἀττ. ***ζητῶ***=ἐρευνῶ, ἐξετάζω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### Κεφ. 140

***ἀτρεκέως***=ἀττ. ***ἀκριβῶς***=μετὰ βεβαιότητος.—***τάδε***=τὰ ἑξῆς· ὅσα δηλ. μέλλω νὰ εἴπω.—***ὡς κρυπτόμενα***=ὡς μυστικά. —***σαφηνέως***=ἀττ. ***σαφῶς***.—***Πέρσεω***=ἀττ. ***Πέρσου***.—***νέκυς*** =ἀττ. ***νεκρός***.—***ὁ ὄρνις***=τὸ ὄρνεον.—***ὑπ' ὄρνιθος ἢ κυνὸς ἑλκύομαι***=κατασπαράσσομαι ὑπὸ ὀρνέου ἢ κυνός.—***μάγος***· πρβλ. κεφ. 132.—***μὲν γὰρ***=ὁπωσδήποτε.—***ἐμφανέως***=ἀττ. ***ἐμφανῶς***=φανερά.—***ποιεῦσι***=ἀττ. ;—***κατακηρόω—ῶ***=κατακαλύπτω διὰ κηροῦ.—***ὦν***=ἀττ. ***οὖν***.—***γῇ κρύπτω***=θάπτω. —***κεχωρίδαται***=ἀττ. ***κεχωρισμένοι εἰσίν***.—***χωρίζομαι***=διαφέρω.—***πολλὸν***=πολύ.—***ἱρέων***=ἀττ. ***ἱερέων***.—***ἁγνεύω***=θεωρῶ ὡς ζήτημα θρησκευτικόν.—***αὐτοχειρίῃ***· ἀντὶ ἐπιρρήματος= ***ἰδιοχείρως***.—***ποιεῦνται***=ἀττ. ;—***ἀγώνισμα ποιοῦμαί τι***= καθιστῶ πρᾶγμά τι μέλημα τῶν ἀγώνων μου.—***ὄφις***=ἀττ. ***ὄφεις***.

## Β. ΗΘΗ ΚΑΙ ΕΘΙΜΑ ΤΩΝ ΒΑΒΥΛΩΝΙΩΝ

### Κεφ. 195

***χρέωνται***=ἀττ. ***χρῶνται***.—***κιθῶνι***=ἀττ. ***χιτῶνι***.—***ποδηνεκὴς***=ἀττ. ***ποδήρης***.—***λινέῳ***=ἀττ. ***λινῷ***.—***εἰρίνεος***=ἀττ. ***ἐρεοῦς***=μάλλινος.—***ἐπενδύνει***· δηλ. ὁ Βαβυλώνιος.—***ἐπενδύνω***=φορῶ ἐπάνω εἰς ἄλλο ἔνδυμα.—***χλανίδιον***· ὑποκοριστικὸν τοῦ ***χλανὶς***=ἐπανωφόριον.—***ἐπιχώρια***=τῆς χώρας, ἐγχώρια.— ***τῇσι Βοιωτίῃσι***=ἀττ. ***ταῖς Βοιωτίαις***.—***ἐμβὰς—άδος***· εἶδος ὑποδημάτων ἐκ πίλου (τριχῶν κατειργασμένων διὰ συμπιέσεως εἰς πυκνὸν πίλημα, «κετσὲ») ἐν χρήσει παρὰ τοῖς Βοιωτοῖς· ἐν Ἀθήναις μετεχειρίζοντο ταύτας οἱ γέροντες.—***κομῶ***=φέρω μακρὰν κόμην.—***μίτρῃσι***=ἀττ. ***μίτραις***.—***μίτρα***· Περσικόν τι κάλυμμα τῆς κεφαλῆς, ἴσως εἶδος σαρικίου· παρὰ τοῖς Ἕλλησι ταινία, διὰ τῆς ὁποίας αἱ Ἑλληνίδες γυναῖκες ἀνέδενον τὴν κόμην των.—***ἀναδέομαι***=ἀττ. ***ἀναδοῦμαι***=δένω πρὸς τὰ ἐπά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νω.—**ἀναδοῦμαι τὴν κεφαλὴν**=δένω τὴν κεφαλήν.—**μυρίζομαι**=ἀλείφομαι μὲ μύρα.—**σφρηγὶς**=ἀττ. **σφραγὶς**=δακτύλιος.—**σκῆπτρον**=ῥάβδος.—**αἰετὸς**=ἀττ. **ἀετός**.—**ἐπίσημον**=διακριτικὸν σημεῖον, σύμβολον.—**ἄρτισις**=τρόπος τοῦ ἐνδύεσθαι καὶ κοσμεῖσθαι, στολισμός.—

## Κεφ. 196

**ὧδε**=**οἴδε**.—**κατεστᾶσι**=ἀττ. **καθεστᾶσι** (ἢ **καθεστήκασι**)=ἰσχύουν.—**ὁ μὲν σοφώτατος ὅδε**· ἐνν. **ἐστίν**.—**τῷ**=ἀττ. **ᾧ**.—**Ἰλλυριῶν Ἐνετούς**· οἱ Ἰλλυριοὶ κατῴκουν πᾶσαν τὴν ἀνατολικὴν ἀκτὴν τῆς Ἀδριατικῆς μετὰ τῶν ὀπίσω αὐτῆς κειμένων ὀρεινῶν χωρῶν, ἤτοι Δαλματίας, Βοσνίας καὶ Ἄνω Ἀλβανίας. Περιλαμβάνων ὁ Ἡρόδοτος εἰς τοὺς Ἰλλυριοὺς καὶ τοὺς Ἐνετοὺς ὑποπίπτει ἀσφαλῶς εἰς γεωγραφικὸν σφάλμα.—**χρᾶσθαι**=ἀττ. **χρῆσθαι**.—**ὡς ἂν**=ἀττ. **ὅταν**.—**γενοίατο**=ἀττ. **γίγνοιντο**.—**γάμων ὡραῖος**=ὥριμος διὰ γάμον.—**ὅκως**=ἀττ. **ὅτε**.—**ἐσάγεσκον**=ἀττ. **εἰσῆγον**.—**εἰσάγω**=φέρω, ὁδηγῶ.—**ἁλέας**=ἀττ. ; (πρβλ. κεφ. 133).—**πέριξ αὐτὰς**=ἀττ. **περὶ αὐτάς**.—**ὅμιλος**= πλῆθος. —**ἀνίστημι**= ἐγείρω, παρουσιάζω (πρὸς πώλησιν).—**πωλέεσκε**=ἀττ. **ἐπώλει**=προσέφερε πρὸς πώλησιν.—**εὑρίσκω πολλὸν** (=πολὺ) **χρυσίον**=εὑρίσκω καλὴν τιμήν.—**πρηθείη**=ἀττ. **πραθείη**· τοῦ ῥ. **πιπράσκω**=πωλῶ.—**ἔσκε**=ἀττ. **ἦν**.—**ἐπὶ συνοικήσι**=ἀττ. **ἐπὶ συνοικήσει**=ἐπὶ γάμῳ, ἐπὶ τῷ ὅρῳ νὰ τὰς νυμφευθοῦν οἱ ἀγοράζοντες.—**ἔσκον**=ἀττ. **ἦσαν**.—**ἐπίγαμος**=ὁ ἔχων ἡλικίαν γάμου.—**ὑπερβάλλοντες ἀλλήλους**=πλειοδοτοῦντες.—**ἐξωνέομαι**—**οῦμαι**=ἀγοράζω.—**καλλιστεύουσαι**=αἱ ὡραιόταται.—**δῆμος**=ὁ λαός, ὁ ὄχλος.—**εἴδεος**=ἀττ. **εἴδους**.—**εἶδος χρηστὸν**=ὡραία μορφή, ὡραιότης.—**ἐλάμβανον ἄν**· ἐνταῦθα=ἐλάμβανον συνήθως.—**δὴ**=ἤδη.—**διεξέρχομαι πωλέων τὰς εὐειδεστάτας**=τελειώνω τὴν πώλησιν τῶν ὡραιοτάτων.—**ἀνίστη ἂν**=παρουσίαζε συνήθως πρὸς πώλησιν.—**ἀμορφέστατος**=ἀσχημότατος.—**ἔμπειρος**=ἀνάπηρος.—**ἀνεκήρυσσε**· ἐνν. **λέγων**.—**ὅστις**=**τίς**.—**χρυσίον**=χρήματα.—**ἐς ὃ**=ἕως ὅτου.—**ὑπισταμένῳ**=ἀττ. **ὑφισταμένῳ**.—**ὑφίσταμαί τι**=δέχομαί τι.—**πρόσκειμαι**=κατακυροῦμαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

—*τὸ δὲ χρυσίον*· τὰ χρήματα δηλ. τὰ ὁποῖα ἔδιδον ὡς προῖκα εἰς τὰς ἀσχήμους.—*ἂν ἐγίνετο*· ὁ *ἂν* ἐνταῦθα σημαίνει πρᾶξιν ἐπαναλαμβανομένην ἐν τῷ παρελθόντι (πρβλ. ἀνωτέρω *ἐλάμβανον ἄν, ἀνίστη ἄν*).—*ἐγίνετο*=προήρχετο.—*ἐκδίδωμι*= δίδω εἰς γάμον, ὑπανδρεύω.—*ὅτεῳ*=ἀττ. *ὅτῳ, ᾧτινι*.—*ἐγγυητέω*=ἀττ. *ἐγγυητοῦ*.—*ἐγγυητὰς καθίστημι*=διορίζω, παρέχω ἐγγυητάς.—*ἦ μὲν*=ἀληθῶς, πράγματι.—*εἰ δὲ μὴ συμφεροίατο* (ἀττ. *συμφέροιντο*)· δηλ. οἱ μνηστευόμενοι.—*συμφέρομαι*= συμφωνῶ.—*ἀποφέρω τὸ χρυσίον*=ἀποδίδω τὰ χρήματα.

## Κεφ. 197

*κατέστηκε*=; (πρβλ. κεφ. 132).—*κάμνοντες*=οἱ ἀσθενεῖς. —*ἐκφορέω*=*ἐκφέρω*=φέρω ἔξω.—*χρέωνται*=ἀττ. *χρῶνται*. —*ἰητροῖσι*=ἀττ. *ἰατροῖς*.—*ὦν*=ἀττ. *οὖν*.—*νοῦσος*=ἀττ. *νόσος*.—*ὁκοῖον*=ἀττ. *ὁποῖον*.—*ἅσσα*=ἀττ. *ἅττα, ἅτινα*.—*ἐκφεύγω τι*=ἀποφεύγω τι, ἀπαλλάσσομαι ἀπὸ κάτι.—*παρεξέρχομαί τινα*=διέρχομαι πλησίον τινός.—*ἐπείρηται*=ἀττ. *ἐπέρηται*· τοῦ ῥ. *ἐπερωτῶ*.—*ταφαὶ δέ σφι* (ἐνν. *εἰσὶ*)=θάπτονται δὲ οὗτοι.=*παραπλήσιοι τοῖσι ἐν Αἰγύπτῳ*· εἰς τὴν Αἴγυπτον οἱ συγγενεῖς τοῦ νεκροῦ, ἄνδρες καὶ γυναῖκες, ἐξήρχοντο εἰς τὰς ὁδοὺς καὶ ἐκτύπων τὰ γυμνὰ στήθη των.

## Κεφ. 200

*κατεστᾶσι*=; (πρβλ. κεφ. 196).—*πατριὰ*=οἰκογένεια, φυλή.—*σιτέονται*=ἀττ. *σιτοῦνται*.—*σιτοῦμαί τι*=τρώγω τι.— *τοὺς*=ἀττ. *οὕς*.—*ἐπείτε ἂν*=ἀττ. *ἐπειδάν*.—*θηρεύω*=συλλαμβάνω, ἁλιεύω.—*αὐαίνω πρὸς ἥλιον*=ξηραίνω εἰς τὸν ἥλιον.—*ποιεῦσι*=ἀττ. *ποιοῦσι*.—*ὅλμος*=ἰγδίον, γουδί.—*λεαίνω*=κοπανίζω (ἐντὸς ἰγδίου).—*ὕπερος*=ξύλινος κόπανος, γουδοχέρι.—*σῶσι*· γ'. πληθ. ἐνεστ. τοῦ ῥ. *σάω (σῶ)*=κοσκινίζω.—*σινδών*· λεπτὸν ὕφασμα (εἶδος μουσελίνας).—*ἅτε*=*ὥσπερ*.—*μᾶζα*=κρίθινος ἄρτος, κρίθινον πλακούντιον.—*μαξάμενος*· τοῦ ῥ. *μάσσω*=κατεργάζομαι διὰ τῶν χειρῶν, ζυμώνω. —*ἄρτου τρόπον*=ὡς ἄρτον.—*ὀπτάω* (ἰων. *ὀπτέω*)=ψήνω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΙΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΗ

## ΕΠΙΓΡΑΦΟΜΕΝΗ ΕΥΤΕΡΠΗ

---

### ΗΘΗ ΚΑΙ ΕΘΙΜΑ ΤΩΝ ΑΙΓΥΠΤΙΩΝ

#### Κεφ. 35

***ἅμα τῷ οὐρανῷ***=μαζὶ μὲ τὸν οὐρανόν.—***σφέας***=ἀττ. ***σφᾶς***.—***ἐόντι***=ἀττ. ὄντι.—***ἑτεροῖος***=διάφορος.—***τῷ ποταμῷ***· δηλ. ***τῷ Νείλῳ***.—***φύσιν παρέχομαι***=παρουσιάζω φύσιν.—***ἀλλοῖος***=***ἑτεροῖος***.—***τὰ πολλὰ***=***τὰ πλείω***· νὰ συναφθῇ πρὸς τὸ ***ἤθεά τε καὶ νόμους***.—***πάντα***=παντελῶς· νὰ συναφθῇ πρὸς τὸ ***ἔμπαλιν ἐστήσαντο***.—***ἔμπαλιν***=ἐναντίον, διαφορετικά.—***ἐστήσαντο***=ἔσχον.—***ἤθεα***=ἀττ. ***ἤθη***.—***ἐν τοῖσι***=ἀττ. ***ἐν οἷς*** =διότι παρ᾽ αὐτοῖς· δηλ. τοῖς Αἰγυπτίοις.—***ἀγοράζω***=συχνάζω εἰς τὴν ἀγοράν.—***καπηλεύω***=ἐξασκῶ τὸ ἐπάγγελμα τοῦ καπήλου, εἶμαι μικρέμπορος.—***ἐόντες***=ἀττ ; (πρβλ. ἀνωτέρω ***ἐόντι***).—***κρόκη***=τὸ ὑφάδι (τὸ ὁποῖον εἰσάγεται μεταξὺ τῶν νημάτων τοῦ στήμονος).—***ἄχθος***=βάρος, φορτίον.—***φορέω***= φέρω.—***εὐμαρείῃ χρῶμαι***=ἀφοδεύω, ἀποπατῶ.—***ἐπιλέγω***= προβάλλω ὡς δικαιολογίαν.—***ἐστὶ χρεὼν***=***χρή***.—***ἱρᾶται***· τοῦ ῥ. ***ἱράομαι***=ἀττ. ***ἱερῶμαι***=εἶμαι ἱερεὺς ἢ ἱέρεια θεοῦ.—***ἔρσην***= ἀττ. ***ἄρσην***.—***θήλεα***=ἀττ. ***θήλεια***.—***τοκεὺς***=γονεύς.—***παισὶ*** =υἱοῖς.—***ἀνάγκη***· ἐνν. ***ἐστί***.—***βουλομένῃσι***=ἀττ. ***βουλομέναις***.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## Κεφ. 36

***ἱρέες***=ἀττ. ***ἱερεῖς***.—***τῇ ἄλλῃ***=εἰς ἄλλας χώρας, ἀλλαχοῦ. —***κομῶ***=φέρω μακρὰν κόμην.—***ξυρῶμαι***=ξυρίζομαι.—***νόμος***· ἐνν. ***ἐστί***.—***κῆδος***=πένθος.—***ἅμα κήδεϊ***=ὅταν ἔχουν πένθος, ὅταν πενθοῦν.—***κεκάρθαι***· τοῦ ρ. ***κείρομαι***.—***κείρομαι τὴν κεφαλὴν***=κόπτω τὴν κόμην μου, κουρεύομαι.—***τοὺς***=ἀττ. ***οὕς***. —***ἱκνέεται***=ἀττ. ***ἀφικνεῖται***· ἐνν. ***τὸ κῆδος***.—***τοὺς μάλιστα ἱκνέεται τὸ κῆδος***=ἐκεῖνοι πρὸ πάντων, τοὺς ὁποίους ἀμέσως πλήττει ἡ συμφορὰ (δηλ. οἱ συγγενεῖς τῶν ἀποθνησκόντων).—***ὑπὸ τοὺς θανάτους***=κατὰ τοὺς θανάτους.—***ἀνιεῖσι***=ἀττ. ***ἀνιᾶσι***=ἀφήνουν.—***τέως***=πρὸ ὀλίγου, ἕως τότε.—***χωρίς... ἀποκέκριται***· πλεονασμός.—***θηρίον***=ζῷον.—***δίαιτα***=διαβίωσις.—***ἀποκρίνομαι***=χωρίζομαι.—***τοῖσι μὲν ἄλλοισι... ἀποκέκριται***=οἱ μὲν ἄλλοι ἄνθρωποι ζοῦν χωριστὰ ἀπὸ τὰ ζῷα.—***πυρὸς***=σῖτος.—***ὧλλοι***=ἀττ. ***οἱ ἄλλοι***.—***ζώουσι***=ἀττ. ***ζῶσι***.—***ἀπὸ τούτων***· δηλ· ***τῶν πυρῶν καὶ κριθέων***.—***ζόη***=ζωὴ (ἀττ. ***βίος***).—***ποιοῦμαι ἀπό τινος τὴν ζόην***=πορίζομαι ἔκ τινος τὴν τροφήν μου.—***ὄλυραι***· εἶδος κριθώδους ὀψίμου καρποῦ, πιθανῶςτὸ ἀσπροσῖτι.—***σιτία***=***σῖτον***=ἄρτον.—***τὰς***=ἀττ.***ἅς***.—***μετεξέτεροι***=ἀττ. ***ἔνιοι***.—***φυρῶ***=***φύρω***=ζυμώνω.—***σταῖς***—***σταιτὸς***=ἄλευρον ἐκ ζειᾶς ἀναμεμιγμένον μεθ' ὕδατος, ζυμάρι. —***ἀναιροῦμαι***=σηκώνω.—***εἶμα***=ἔνδυμα.—***κρίκοι***=μικραὶ ὀπαὶ τῶν ἱστίων, διὰ τῶν ὁποίων διήρχοντο καὶ ἐσύροντο τὰ σχοινία.—***κάλος***=ἀττ. ***κάλως***=σχοινίον.—***προσδέω***=προσδένω.—***λογίζομαι***=λογαριάζω.—***ψῆφοι***· λιθάρια τὰ ὁποῖα μετεχειρίζοντο οἱ ἀρχαῖοι διὰ τὴν ἀρίθμησιν.—***διφάσιος***=ἀττ. ***διττός, διπλοῦς***.—***ἱρὰ***=ἀττ. ***ἱερά***.—***ἱρὰ γράμματα***· τὰ καλούμενα καὶ ***ἱερογλυφικά***, διότι μετεχειρίζοντο αὐτὰ μόνον οἱ ἱερεῖς.

## Κεφ. 37

***περισσῶς***=ὑπερβαλλόντως, ὑπερβολικά.—***μάλιστα πάντων ἀνθρώπων***=ὑπὲρ πάντας τοὺς ἀνθρώπους.—***τοιοισίδε***= ἀττ. ***τοιοῖσδε***.—***διασμῶντες***· ἐνν. ***ταῦτα*** (τὰ ποτήρια).—***διασμῶ***

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

=σπογγίζω, καθαρίζω.—**λίνεα**=λινᾶ.—**ἐπιτηδεύω**=καταγίνομαι, προσέχω.—**τοῦτο μάλιστα**=δηλ. νὰ εἶναι νεόπλυτα.—**ἱρέες**=ἀττ.; (πρβλ. κεφ. 36).—**ξυρῶνται πᾶν τὸ σῶμα**=ξυρίζονται καθ' ὅλον τὸ σῶμα.—**διὰ τρίτης ἡμέρης**=ἀνὰ πᾶσαν τρίτην ἡμέραν.—**μυσαρὸν**=ἀκάθαρτον, ῥυπαρόν.—**ἐγγίγνομαι**· ἐπὶ παρασίτου, ὅπως ἐνταῦθα=ἀναπτύσσομαι (ἐντὸς τοῦ δέρματος).—**θεραπεύω τοὺς θεοὺς**=ὑπηρετῶ τοὺς θεούς.—**λινέην μούνην**=μόνον λινῆν· καὶ ὄχι ἀπὸ ἄλλο ὕφασμα.—**βύβλινος**=ὁ κατεσκευασμένος ἐκ βύβλου· **βύβλος (ἢ βίβλος)** εἶναι ὁ Αἰγυπτιακὸς πάπυρος, τοῦ ὁποίου οἱ ἰνώδεις φλοιοὶ παρεσκευάζοντο πρὸς κατασκευὴν σχοινίων, ἱστίων, στρωμάτων, χάρτου κλπ.—**λοῦνται**=λούονται.—**ψυχρῷ**· ἐνν. **ὕδατι.**—**θρησκηίη**=ἀττ. **θρησκεία**=θρησκευτικὴ λατρεία, θρησκευτικὴ συνήθεια, ἱερουργία.—**ὡς εἰπεῖν λόγῳ**=διὰ νὰ εἴπω μὲ ἕνα λόγον, διὰ νὰ εἴπω ἐν συντομίᾳ.—**πάσχω ἀγαθὰ**=ἀπολαμβάνω ἀγαθά.—**οἰκήιος**=ἀττ. **οἰκεῖος**.—**τρίβω**=φθείρω.—**σιτία**=**σῖτος**=ἄρτος, τροφαί.—**ἐστὶ πεσσόμενα**=**πέττεται.**—**πέττω**=μαγειρεύω, ψήνω.—**βοέων**=ἀττ. **βοείων.**—**χηνέων**=ἀττ. **χηνῶν.**—**τι**· νὰ συναφθῇ πρὸς τὸ **πολλόν,** τοῦ ὁποίου ἐπιτείνει τὴν σημασίαν.—**γίνομαι**· ἐνταῦθα=προσφέρομαι.—**οἶνος ἀμπέλινος**· ἐν ἀντιθέσει πρὸς τὸν κρίθινον οἶνον, τὸν σημερινὸν δηλ. ζῦθον, ὅστις ἦτο ἐν χρήσει παρὰ τοῖς Αἰγυπτίοις.—**πάσασθαι**· τοῦ ῥ. **πατέομαι**=ἀττ. **ἐσθίω.**—**οὔτε τι μάλα**=οὐδόλως.—**τρώγω τι**=τρώγω τι ὠμὸν (ἰδίως ὄσπρια, καρποὺς καὶ τὰ τοιαῦτα).—**ἕψω**=βράζω.—**οὐδὲ ὁρῶντες**· ἐνν. **αὐτούς,** δηλ. τοὺς κυάμους.—**μιν**=ἀττ.; (πρβλ. βιβλ. Α΄., κεφ. 132).—**νομίζοντες οὐ καθαρὸν εἶναι μιν ὄσπριον**· διότι τὰ γεννώμενα ἐν τοῖς κυάμοις ζωΰφια ἐνόμιζον ὡς ψυχὰς ἀποθανόντων.—**ἱρᾶται**=ἀττ.; (πρβλ. κεφ. 35).—**τῶν**=ἀττ. **ὧν.**—**ἀντικαθίσταται**=**ἀντικαθίστησιν αὐτόν.**

## Κεφ. 38

**ἔρσην**=ἀττ. ; (πρβλ. κεφ. 35).—**Ἔπαφος**· εἰς τὴν γλῶσσαν τῶν Αἰγυπτίων ἐκαλεῖτο **Ἆπις**· ἦτο υἱὸς τοῦ Διὸς καὶ τῆς Ἰοῦς καὶ σύζυγος τῆς θυγατρὸς τοῦ Νείλου Μέμφιδος, ἐκ τῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁποίας ἐγέννησε τὴν Λιβύην. Κατὰ τὴν μυθολογίαν ὑπῆρξεν ὁ πρῶτος βασιλεὺς τῆς Αἰγύπτου, ἐξ αὐτοῦ δὲ λέγεται ὅτι κατήγετο ὁ Δαναὸς καὶ ὁ Κάδμος.—***ἴδηται***=ἀττ. ***ἴδῃ***· ὑποκείμενον τοῦ ῥήματος ἐννοεῖται ἐκ τῶν κατωτέρω ***ὁ ἐπὶ τούτῳ τεταγμένος τῶν ἱρέων***.—***ἐπεοῦσαν***=ἀττ. ***ἐποῦσαν***=οὖσαν ἐπ' αὐτοῦ.—***δίζημαι***=ἀττ. ***ζητῶ***=ἐξετάζω.—***ἑστεῶτος***=ἀττ. ***ἑστῶτος***.—***ἐξειρύω***=ἕλκω πρὸς τὰ ἔξω.—***εἰ καθαρή***· ἐνν. ***ἐστί***.—***τὰ προκείμενα***=τὰ καθωρισμένα.—***σημήια***=σημεῖα.—***τὰ***=ἀττ. ***ἅ***.—***ἐν ἄλλῳ λόγῳ***=εἰς ἄλλο βιβλίον.—***ἐρέω***=ἀττ. ***ἐρῶ***.—***ἐν ἄλλῳ λόγῳ ἐρέω***· εἰς τὸ κεφ. 27 καὶ ἐφεξῆς τοῦ Γ' βιβλίου τῆς ἱστορίας του ὁ Ἡρόδοτος διηγεῖται ὅτι ὁ βασιλεὺς τῶν Περσῶν Καμβύσης νικήσας κάποτε τοὺς Αἰγυπτίους εἰς κρατερὰν μάχην, κατὰ τὴν ὁποίαν ἀπώλεσε τὸ πλεῖστον μέρος τοῦ στρατοῦ του, ἔφθασεν εἰς τὴν Μέμφιν καὶ εὗρεν ἐκεῖ τοὺς Αἰγυπτίους φοροῦντας τὰ καλά των ἐνδύματα καὶ πανηγυρίζοντας. Ἐπειδὴ ἐνόμισεν ὅτι ὁ πανηγυρισμὸς ὠφείλετο εἰς τὴν χαράν των διὰ τὰς ἀπωλείας του, ἐκάλεσε τοὺς ἄρχοντας τῆς πόλεως, οἵτινες τὸν ἐπληροφόρησαν ὅτι ἐτελεῖτο ἑορτή, διότι παρουσιάσθη εἰς αὐτοὺς ὁ θεὸς Ἆπις ὑπὸ μορφὴν μόσχου. Εἶχε δὲ ὁ μόσχος οὗτος τὰ ἀκόλουθα σημεῖα· ἐνῷ ἦτο μέλας, ἔφερεν ἐπὶ τοῦ μετώπου λευκὸν τετράγωνον, ἐπὶ δὲ τῶν νώτων τὸ ὁμοίωμα ἀετοῦ, εἰς τὴν οὐρὰν εἶχε τρίχας διπλᾶς, ὑπὸ τὴν γλῶσσαν δὲ κάνθαρον. Μὲ βάσιν λοιπὸν τὰ σημεῖα αὐτὰ οἱ ἱερεῖς ἔκαμνον μετὰ ταῦτα τὸν ἔλεγχον τῶν ἀρρένων βοῶν, οἱ ὁποῖοι ἦσαν προωρισμένοι νὰ θυσιασθοῦν.—***κατορᾷ***=ἀττ. ***καθορᾷ***.—***κατὰ φύσιν***=φυσικῶς.—***σημαίνεται***· ἐνν. ***αὐτόν***, δηλ. τὸν βοῦν.—***σημαίνομαί τινα***=σημαδεύω τινα.—***κέρεα***=ἀττ. ***κέρα***=κέρατα.—***εἱλίσσων***· ἐνν. ***αὐτήν***, δηλ. τὴν βύβλον.—***εἱλίσσω βύβλον***=τυλίσσω λωρίδα βύβλου (φλοιὸν παπύρου).—***γῆ σημαντρίς***· χῶμα χρησιμοποιούμενον πρὸς σφράγισιν, ὅπως παρ' ἡμῖν ὁ ἱσπανικὸς κηρὸς (κ. βουλλοκέρι).—***ἐπιπλάσσω***=ἀττ. ***ἐπιπλάττω***=ἐπιθέτω, ἀλείφω τι ἐπάνω εἴς τι.—***ἐπιβάλλω***=βάλλω ἐπάνω, πατῶ.—***τὸν δακτύλιον***· ὅστις ὑπὸ τῶν ἀρχαίων ἐχρησιμοποιεῖτο καὶ ὡς σφραγίς.—***ἀσήμαντον***· ἐνν. ***βοῦν***=ἀσημάδευτον.—***ζημίη***=ἀττ. ***ζημία***=τιμωρία.—***ἐπικέεται***=ἀττ. ***ἐπίκειται***=ἐπιβάλλεται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## Κεφ. 39

***ἥδε***=***ὧδε***.—***κατέστηκε***=ἀττ. ***καθέστηκε***=ἔχει καθιερωθῆ, γίνεται.—***ὅκου***=ἀττ. ***ὅπου***.—***ἀνακαίω***=ἀνάπτω.—***ἱρήιον***=ἀττ. ***ἱερεῖον***=τὸ θῦμα, τὸ σφάγιον.—***κατὰ τοῦ ἱρηίου***=ἐπὶ τοῦ ἱερείου.—***ἐπισπείσαντες***· τοῦ ῥ. ***ἐπισπένδω***=ἐπιχέω.—***ἐπικαλῶ τὸν θεὸν***=ἐπικαλοῦμαι τὸν θεόν.—***ἀποτάμνω***=ἀττ. ***ἀποτέμνω***.—***δείρω***=ἀττ. ***δέρω***=ἐκδέρω.—***κείνη***=ἀττ. ***ἐκείνη***.—***καταρησάμενοι***· τοῦ ῥ. ***καταρέομαι***=ἀττ. ***καταράομαι—ῶμαι*** (τινί τι).—***ἐκβάλλουσι***· ἐνν. ***ταύτην***, δηλ. τὴν κεφαλήν.—***τραπέσθαι***=νὰ στραφοῦν καὶ νὰ πέσουν.—***κατὰ τὰς κεφαλὰς***=προκειμένου περὶ τῶν κεφαλῶν.—***νυν***=ἀττ. ***τοίνυν***.—***ἐπίσπεισις***=ἀττ. ***σπονδή***.—***ἱρὰ***=ἀττ. ***ἱερὰ***=θυσίαι.

## Κεφ. 40

***ἡ ἐξαίρεσις τῶν ἱρῶν***=ἡ ἀφαίρεσις, ἡ ἐξαγωγὴ τῶν σπλάγχνων τῶν θυμάτων.—***ἡ ἐξαίρεσις... κατέστηκε***· βραχυλογία· τὸ πλῆρες=***ἡ ἐξαίρεσις τῶν ἱρῶν καὶ ἡ καῦσις, ἥ σφι κατέστηκε, ἄλλη ἐστὶ περὶ ἄλλο ἱρὸν***=ἡ ἐξαγωγὴ τῶν σπλάγχνων τῶν σφαγίων καὶ ἡ καῦσις αὐτῶν, ἡ ὁποία ἔχει καθιερωθῆ παρ' αὐτοῖς, εἶναι διαφορετικὴ κατὰ τὰς διαφόρους θυσίας.—***τὴν***=ἀττ. ***ἥν***.—***ὦν***=ἀττ. ***οὖν***.—***μεγίστην δαίμονα***· περὶ ταύτης ὁμιλεῖ ὁ Ἡρόδοτος κατωτέρω (κεφ. 41).—***ἥγηνται***=***ἡγοῦνται***=πιστεύουν.—***οἱ***=αὐτῷ.—***ὀρτὴ***=ἀττ. ***ἑορτή***.—***ἀνάγω***=ἄγω.—***ἐρέων***=ἀττ. ***ἐρῶν***.—***ἐπεὰν***=***ἐπάν, ἐπειδάν***.—***ἀποδείρω***=ἀττ. ***ἀποδέρω***=ἐκδέρω, γδέρνω.—***κοιλίην κείνην***=τὴν κοιλίαν ἐκείνου (τοῦ βοός).—***ἐξ ὧν εἷλον***· τμῆσις=***ἐξεῖλον***=***ἐξαιροῦσι*** (γνωμ. ἀόριστος).—***ὦν***=ἀττ. ***οὖν***· μετὰ γνωμικοῦ ἀορίστου=τότε, ἀμέσως.—***λείπω***=ἀφήνω.—***πιμελὴ***=τὸ πάχος, τὸ ξύγκι.—***ἀποτάμνω***=ἀποτέμνω.—***τὴν ὀσφὺν ἄκρην***=τὸ ἄκρον τῆς ὀσφύος, τῆς νεφραμιᾶς.—***πιμπλᾶσι***· τοῦ ῥ. ***πίμπλημι***=γεμίζω.—***ἀσταφὶς***=σταφίς.—***θύωμα***=θυμίαμα· ἐν τῷ πληθυντικῷ=ἀρώματα, μπαχαρικά.—***πλήσαντες***· τοῦ ῥ. ***πίμπλημι***.—***καταγίζω***=ἀττ. ***καθαγίζω***=καίω.—***καταχέω***=χύνω

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπί τινος.—***τύπτονται***=τύπτουσιν ἑαυτούς.—***ἀποτύπτομαι***= ***παύω τυπτόμενος.—δαίς-τὸς***=εὐωχία.—***προτίθενται***=***προτιθέασιν ἑαυτοῖς.—τὰ***=ἀττ. ***ἅ.—ἐλίποντο***=ἐλείφθησαν, ὑπελείφθησαν.—***ἰρὰ***=ἀττ. ***ἱερά***=τὰ σφάγια.—***τὰ ἐλίποντο τῶν ἰρῶν***· δηλ. τὰ σκέλη, ἡ ἄκρα ὀσφύς, ὁ τράχηλος καὶ οἱ ὦμοι.

## Κεφ. 41

***τοὺς μέν νυν καθαρούς***· ἀπὸ τὰ ἀνωτέρω δηλ. μνημονευθέντα σημεῖα.—***ἔρσην***=ἀττ. ; (πρβλ. κεφ. 35).—***θηλέας***= ἀττ. ***θηλείας***.—***Ἴσιος***=ἀττ. ***Ἴσιδος***· ἡ ***Ἶσις*** ἦτο Αἰγυπτία θεότης (πρβλ. ***μεγίστην δαίμονα***, κεφ. 40) ἀνταποκρινομένη πρὸς τὴν Δήμητρα τῶν Ἑλλήνων. Ἦτο ἀδελφὴ καὶ σύζυγος τοῦ Ὀσίριδος, ὁ ὁποῖος εἶχε διαδεχθῆ τοὺς ἀπογόνους τοῦ θεοῦ Ρᾶ, ὅστις ἐβασίλευσε τῆς Αἰγύπτου, καὶ μήτηρ τοῦ Ὥρου, ὁ ὁποῖος κατὰ τὴν παράδοσιν τὴν ἀπεκεφάλισε καὶ προσέθεσεν εἰς τὸ μέρος τῆς ἀποκοπείσης κεφαλῆς κεφαλὴν ἀγελάδος, διότι τὸν ἠμπόδισε νὰ φονεύσῃ τὸν Σήθ, φονέα τοῦ ἀδελφοῦ του Ὀσίριδος καὶ σφετεριστὴν τοῦ θρόνου.—***ἐὸν γυναικήιον***=ἀττ. ***ὂν γυναικεῖον.—βούκερως***=ὁ ἔχων κέρατα βοός.—***κατάπερ*** =ἀττ. ***καθάπερ.—Ἰοῦν***=ἀττ. ***Ἰώ***· αὕτη κατὰ τὴν ἑλληνικὴν μυθολογίαν ἦτο θυγάτηρ τοῦ Ἰνάχου, βασιλέως τοῦ Ἄργους, μεταμορφωθεῖσα εἰς δάμαλιν ὑπὸ τῆς Ἥρας.—***γράφω***=ζωγραφῶ, παριστῶ.—***πρόβατον***= ; (πρβλ. βιβλ. Α΄. κεφ. 133).— ***μάλιστα μακρῷ***=***ὡς μάλιστα.—ὀβελὸς***=σοῦβλα.—***ἀπιεῖσι***= ἀττ. ***ἀφιᾶσι***· τοῦ ῥ. ***ἀφίημι***=ῥίπτω.—***κατορύσσω***=θάπτω.— ***ὑπερέχοντα***· ἐνν. ***τῆς γῆς***· ὄντα δηλ. ἔξω τοῦ τάφου.—***σημήιον*** =ἀττ. ***σημεῖον.—σαπῇ*** (ἐνν. ***ὁ βοῦς***)· ὑποτ. ἀορ. τοῦ ῥ. ***σήπομαι.—προσίῃ***=τοῦ ῥ. ***προσέρχομαι***=ἐπέρχομαι, πλησιάζω. —***ἀπικνέεται***=ἀττ. ***ἀφικνεῖται.—βᾶρις-ιος***=ἀττ. ***βᾶρις-ιδος*** =πλοῖον μὲ πυθμένα εὐρύν, ἐπίπεδον.—***Προσωπῖτις***· νῆσός τις ἐν τῷ Δέλτα τοῦ Νείλου, δηλ. μεταξὺ τῶν βραχιόνων τοῦ ἀνατολικοῦ καὶ τοῦ δυτικοῦ Νείλου.—***τὸ περίμετρον***=ἡ περίμετρος.—***σχοῖνος***· μέτρον γῆς ἐν χρήσει καὶ ἐν τῇ Ἑλλάδι, διὰ τοῦ ὁποίου συνήθως ἐμετροῦντο αἱ ἑκάστοτε κυριευόμεναι χῶραι καὶ διενέμοντο διὰ κλήρου εἰς τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νέους ἐποίκους· ὁ Αἰγυπτιακὸς σχοῖνος κατὰ τὸν Ἡρόδοτον ἦτο ἴσος πρὸς δύο Περσικοὺς παρασάγγας, ἤτοι ἑξήκοντα ἑλληνικὰ στάδια.—***πόλιες***=ἀττ. ***πόλεις***.—***συχναὶ***=πολλαί.—***ἐκ τῆς δέ... τῶν βοῶν***· τὸ πλῆρες: ***ἐς τὴν δὲ αἱ βάριες παραγίνονται ἀναιρησόμεναι ἐκ τῆς τὰ ὀστέα τῶν βοῶν***.—***οὔνομα*** (=ἀττ. ***ὄνομα***)· ἐνν. ***ἐστί***.—***τῇ πόλι***=ἀττ. ***τῇ πόλει***.—***ἱρὸν ἅγιον***=ἱερὸς ναός, σεβαστός.—***πλανῶνται***=περιφέρονται, ταξιδεύουν.—***ἄλλοι εἰς ἄλλας πόλις***· (ἐπεξήγησις τοῦ ***πολλοί***)= δηλ. ἄλλοι εἰς ἄλλας πόλεις, ἄλλοι ἐδῶ καὶ ἄλλοι ἐκεῖ.—***ἀνορύσσω***=ἀνασκάπτω τι τεθαμμένον, ξεχώννω.—***πάντες***· ὅταν δηλ. ἐγίνετο ἡ ἀνακομιδὴ τῶν ὀστῶν τῶν βοῶν, ἐπανήρχοντο εἰς τὴν πόλιν των καὶ ἐλάμβανον μέρος εἰς τὴν πομπὴν ὅλοι οἱ εἰς ἄλλας πόλεις εὑρισκόμενοι κάτοικοι τῆς Ἀταρβήχιος.—***κατὰ ταὐτά***=κατὰ τὸν αὐτὸν τρόπον.—***οὕτω σφι νενομοθέτηται***= τοιοῦτον ἔθιμον ἐπικρατεῖ εἰς αὐτούς.

## Κεφ. 42

***Διὸς Θηβαιέος***=ἀττ. ***Διὸς Θηβαιέως***=Διὸς Θηβαίου· Θηβαῖος Ζεὺς καλεῖται ὁ Ζεὺς Ἄμμων, τοῦ ὁποίου περίφημος ναὸς ὑπῆρχεν ἐν Θήβαις τῆς Αἰγύπτου.—***νομὸς***=περιοχή.—***ὄις*** =ἀττ. ***οἶς***=πρόβατον.—***Ἴσιος καὶ Ὀσίριος***=ἀττ. ***Ἴσιδος καὶ Ὀσίριδος***.—***τὸν***=ἀττ. ***ὄν***.—***Μένδης***· θεὸς Αἰγύπτιος ἐν σχήματι τράγου, ἕνεκα τοῦ ὁποίου καὶ ἐταυτίζετο μετὰ τοῦ Ἑλληνικοῦ Πανὸς (ἰδὲ κατωτέρω κεφ. 46). Κατ' ἀρχὰς ἡ λατρεία αὐτοῦ ἦτο τοπικὴ παρὰ τοῖς Μενδησίοις, ἀλλ' ἔπειτα ἐξετάθη εἰς ὅλην τὴν Αἴγυπτον. Εἰς τὰ μνημεῖα παρίστατο ἐνίοτε καὶ ὡς ἄνθρωπος μὲ κεφαλὴν κριοῦ.—***ἔκτηνται***=ἀττ. ***κέκτηνται***= ἔχουσιν ἱδρύσει.— ***διὰ τούτους***=διότι εἶχον τὰ ἴδια μὲ αὐτοὺς ἱερά.—***διὰ τάδε***=διὰ τὴν ἀκόλουθον αἰτίαν.—***νόμος τιθεταί τινι***=ἐπικρατεῖ παρά τινι ἔθιμον.—***Ἡρακλῆς***· οὗτος κατὰ τὸν Ἡρόδοτον κατετάσσετο ὑπὸ τῶν Αἰγυπτίων μεταξὺ τῶν δώδεκα θεῶν.—***θελῆσαι***· ἐκ τοῦ ***λέγουσι***.—***πάντως***=μὲ πάντα τρόπον.—***ἰδέσθαι***=ἀττ. ***ἰδεῖν***.—***καὶ τὸν***=καὶ τοῦτον· δηλ. τὸν Δία.—***ὀφθῆναι***· τοῦ ῥ. ***ὁρῶμαι***.—***ἐπείτε***=ἀττ. ***ἐπεί***.—***ἐπείτε λιπαρέειν = ἐπείτε ἐλιπάρεε***.—***λιπαρέω***=ἐπιμόνως παρα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

